Εἰσάγω, Induco, Introduco, Intromitto. Hom. Od. Ξ, [419] : Οἱ δ' ὖν εἰσάγαγον [εἰσῆγον] μάλα πίονα πενταέτηρον. [Polyb. 24, 1, 8 : Ἐπὶ δὲ τούτῳ τὸν Δημήτριον εἰσαγαγόντες οἱ στρατηγοὶ παρεκαλέσαντο τοὺς κατηγοροῦντας τοῦ Φιλίππου πάντας· 30, 4, 6 : Εἰσαγαγόντος αὐτοὺς Ἀντωνίου τοῦ δημάρχου (in concionem). Imperf. freq. Herodot. 1, 196 : Ταύτας ... ἐς ἓν χωρίον ἐσάγεσκον ἁλέας. Ap. eund. de fluvio derivando 1, 191 : Τὸν ποταμὸν διώρυχι ἐσαγαγὼν ἐς τὴν λίμνην. Et de uxore in matrimonium ducenda 5, 40 : Καὶ ἄλλην πρὸς ταύτῃ ἐσάγαγε γυναῖκα τεκνοποιόν.] Apud Is. εἰσάγειν δῶρα, Afferre munera exponitur. [Constantin. Basil. Mac. c. 53, p. 134 : Εἰσήχθη καὶ αὐτὴ πρὸς βασιλέα ... εἰσαγαγοῦσα καὶ δῶρα πολυτελῆ. L. D.] Verbo εἰσάγω opponitur ἐξάγω : sic Xen. τοῖς κάμνουσιν ἰατροὺς εἰσάγειν dixit, Medicos intromittere ad ægrotos, vel adducere. Quidam interpr. Medicos ægrotis adhibere. [Comm. 2, 4, 3 : Καμνόντων φίλων τε καὶ οἰκετῶν ὁρᾶν τινας ἔφη τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας. Demosth. p. 1159, 20 : Ἐπειδὴ ... ἐπαγγείλαντός μου αὐτῷ θεραπεύειν τὴν ἄνθρωπον, ἣν συνέκοψαν, καὶ ἰατρὸν εἰσάγειν, οὐκ ἐφρόντιζον, ἐγὼ αὐτὸς εἰσήγαγον ἰατρόν. Improprie Thucyd. 5, 35 : Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν. Et alia figura Soph. El. 39 : Ὅταν σε καιρὸς εἰσάγῃ· Tr. 29 : Νὺξ γὰρ εἰσάγει καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον. Et rursus aliter Polyb. 4, 20, 6 : Οὐδὲ τοὺς παλαιοὺς Κρητῶν καὶ Λακεδαιμονίων αὐλὸν καὶ ῥυθμὸν εἰς τὸν πόλεμον ἀντὶ σάλπιγγος εἰκῇ νομιστέον εἰσαγαγεῖν. || Importo. Thucyd. 2, 6 : Στρατεύσαντες ἐς Πλάταιαν σῖτόν τε ἐσήγαγον καὶ φρουροὺς ἐγκατέλιπον· 4, 26 : Ἐς τὴν νῆσον ἐσάγειν σῖτον, et mox iterum iterumque. Inscr. ap. Bœckh. vol. 2, p. 78, 15 : Ἀτέλειαν χρημάτων πάντων ὧν ἂν εἰσάγωσι καὶ ἐξάγωσι ἐπὶ κτήσει· 220, 18 : Ἀσυλία ἐν Δήλῳ καὶ αὐτοῖς καὶ ἐργάταις καὶ σκεύεσι καὶ ὅσα ἐξάγωσιν ἢ εἰσάγωσιν ἐφ' ἑαυτῶν χρείᾳ. Æneas Tact. c. 10, p. 31 : Τῷ εἰσάγοντι κατὰ πλῆθος τῶν εἰσαγομένων τόκους προκεῖσθαι. || Infero. Inscr. ap. Bœckh. vol. 1, p. 166, 28 : Τὴν τιμὴν εἰσαγέτω ἐπὶ τὴν [δημοσίαν τράπε]ζαν. || Introduco, Adhibeo. Eur. Phœn. 1408 : Καί πως νοήσας Ἐτεοκλῆς τὸ Θεσσαλὸν εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός. || Construitur c. dat. Eur. Alc. 1112 : Σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμοις· Hipp. 526 : Εἰσάγων γλυκεῖαν ψυχαῖς χάριν. C. accus. Hom. Il. Ω, 719 : Οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα. Itaque ib. 620 : Ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα, Ἴλιον εἰς ἀγαγὼν, malim εἰσαγαγών. V. l. Herodoti in Εἰσάγομαι citandum. Æsch. Cho. 77 : Ἐκ γὰρ οἴκων πατρῴων δούλιον ἐσᾶγον αἶσαν. Eur. Hec. 1148 ; Μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει δόμους· Phœn. 365 ; Ἥ μ' εἰσήγαγε τείχη πατρῷα. L. D.] Passiva εἰσάγεσθαι et ἐξάγεσθαι, Importari et Exportari. Dem. Pro cor. [p. 276] : Οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδὲν, οὔτ' εἰσήγετο, ὧν ἐδεῖτ' αὐτῷ. [Thucyd. 6, 103 : Τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας παντα χόθεν. Xen. Reip. Ath. 2, 3 : Οὐ γάρ ἐστι πόλις οὐδεμία ἥτις οὐ δεῖται εἰσάγεσθαί τι ἢ ἐξάγεσθαι. Æneas Tact. c. 10, p. 29 : Τῶν δὲ ἐκπεμπομένων καὶ εἰσαγομένων ἐπιστολῶν εἶναι ἐπισκόπησιν. || Introducere, de moribus, religionibus, et sim. Herodot. 2, 49 : Οὐ γὰρ δὴ συμπεσέειν γε φήσω τά τε ἐν Αἰγύπτῳ ποιεύμενα τῷ θεῷ καὶ τὰ ἐν τοῖσι Ἕλλησι· ὁμότροπα γὰρ ἂν ἦν τοῖσι Ἕλλησι καὶ οὐ νεωστὶ ἐσαγμένα. Argum. Arist. Nub. : Ξένους εἰσάγοντος δαίμονας (Socratis). Eur. Bacch. 260 : Τελετὰς πονηρὰς εἰσάγων.] Sed εἰσάγομαι activa etiam signif. positum reperitur, ut [Hom. H. Apoll. 2, 389 : Καὶ τότε δὴ κατὰ θυμὸν ἐφράζετο Φοῖβος Ἀπόλλων, οὕστινας ἀνθρώπους ὀργίονας εἰσαγάγοιτο. Herodot. 3, 70 ; Ὁτάνης μέν νυν εἰσάγεται Ἰνταφερνέα, quod in ἐπάγεται mutabat Valck., Schweigh. autem Lex. p. 286, b, interpr. Ascivit, προσεταιρίζεται. Id. de uxore in matrimonium ducenda, ut supra act., medio 5, 39 : Τὴν ἔχει γυναῖκα ... ἀπέντα ἄλλην ἐσαγαγέσθαι· 6, 63 : Οὕτω μὲν δὴ τὴν τρίτην ἐσηγάγετο γυναῖκα. Et 5, 34 : Σῖτα καὶ ποτὰ τὸ τεῖχος ἐσάξαντο, de qua constr. dixi in activo. Sic autem ἐκ πόλιος ἄξαντο, ἄξασθε est Hom. Il. Θ, 545, 505. Thucyd. 8, 16 : Τὸν δὲ πεζὸν οἱ Τήιοι τὸ πρῶτον οὐχ ἐσδεχόμενοι, ὡς ἔφυγον οἱ Ἀθηναῖοι, ἐσηγάγοντο· 91 : Τοὺς πολεμίους ἐσαγαγόμενοι· 108 : Ὁπλίτας ἐσηγάγοντο. Æneas Tact. c. 11 : Ἐπεὶ δὲ ἐν τῷ εἰσάγεσθαι τοὺς ξένους ἦσαν οἱ πλούσιοι· 29 : Ἐργάτας ἅμα οὕτως εἰσηγάγοντο,

ubi est Introducere. Et ubi Importare, apud eund. c. 29 : Ἐπεὶ οὐδενὶ ἄλλῳ τρόπῳ ἠδύναντο ἑτοιμάσασθαι οὐδὲ εἰσαγαγέσθαι ὅπλα. L. D.] ap. Aristot. : Ἀλλὰ μὴν εἰσάγονταί γε ἐφ' ἑαυτοὺς οἱ ἰατροὶ κάμνοντες τοὺς ἄλλους ἰατροὺς, Introducunt. Exponitur et Accersunt, Acciunt. Sic e Xen. paulo ante εἰσάγειν. Polyb. 2, [57] : Τούτους εἰς τὰς οἰκίας ἰδίας εἰσαγόμενοι, οὐδὲν ἀπέλιπον τῆς μετὰ ἀλλήλων φιλοφροσύνης. [Apoll. Rh. 3, 622 : Ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο. Aliter Hippocr. De nat. hom. p. 228, 29 : Αἱ δὲ νοῦσοι γίνονται αἱ μὲν ἀπὸ τῶν διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἑσαγόμενοι ζῶμεν, Ab aere quem ducentes vivimus. Improprie Philostr. V. Soph. 2, 5, 3, p. 573 extr. : Ῥυθμούς τε ποικιλωτέρους αὐλοῦ καὶ λύρας ἐσηγάγετο ἐς τὸν λόγον. L. D.] || Εἰσάγω, Introduco, ut quum in scriptis nostris personas introducimus loquentes. [Plato Leg. 8, p. 838, C : Ὅταν ἢ Θυέστας ἤ τινας Οἰδίποδας εἰσάγωσιν ἢ Μακαρέας τινὰς ἀδελφαῖς μιχθέντας λαθραίως· Reip. 2, p. 381, D : Μηδ' ἐν τραγῳδίαις ... εἰσαγέτω Ἥραν ἠλλοιωμένην. Schol. Arist. Pac. 656 : Κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον. Et de spectaculis ipsis Plat. Apol. p. 35, B : Ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεινὰ ταῦτα δράματα εἰσάγοντος.]

|| Εἰσάγω, verbum forense, In judicium sisto, ut Bud. interpr. in hoc l. Dem. In Timocr. [p. 733, 12] : Δησάντων αὐτὸν οἱ ἕνδεκα καὶ εἰσαγόντων εἰς τὴν Ἡλιαίαν, Eum undecimviri in vincula conjiciunto atque ad judicium sistunto. Idem Dem. Pro cor. [p. 266] : Ὅτ' ἐμὲ εἰσῆγον οἱ λογισταὶ, Quum a ratiociniorum præfectis rationem gestæ administrationis reposcebar. Dicebatur autem εἰσάγειν interdum actor, interdum judex, qui et εἰσάγειν εἰς τὸ δικαστήριον dicitur a Dem. [p. 1147, 1175, Xenoph. Hipparch. 1, 9 et 10.] Ceterum plena locutio est εἰσάγειν τὴν δικὴν, vel εἰσάγειν τὴν γραφὴν, Dictare judicium, de quibus vide Bud. Comment. p. 111—112. [Æsch. Eum. 582 : Εἰσάγω δὲ τὴν δίκην. Conf. ib. 580. Plato Leg. 9, p. 871, D : Τὰς δίκας εἰσαγόντων ταύτας. Et cum accus. rei id. Apol. p. 29, A : Τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον· 25, C : Πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα τοὺς νέους. Et cum dat. p. 24, D : Ἐμὲ εἰσάγεις τουτοισὶ καὶ κατηγορεῖς. Et c. genit. criminis p. 26, A : Εἰ δ' ἄκων διαφθείρω, τῶν τοιούτων καὶ ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν.] || Εἰσάγειν ap. Hom. pro εἰς ἓν ἄγειν, In unum adducere, ut exp. Eust. in Il. M, [18] : Ποταμῶν μένος εἰσαγαγόντες. || Item ἐσάγειν, positum pro εἰσάγειν, accipi ait pro εἰσιέναι vel ὑπάγειν in Il. Z, [252] : Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἀρίστην, intelligens, ut opinor, esse ἐσάγουσα Λαοδίκην, pro ἄγουσα ἐς Λαοδίκην, Proficiscens ad Laodicen; nam et brevium scholl. auctor habet πρὸς Λαοδίκην πορευομένη. Eust. in illo etiam præced. loco ait εἰσαγαγόντες posse intelligi εἰσελθόντες, sed βιαίως καὶ μυθικῶς id intellectum iri.

|| Ἐσάγω, Ionice et Attice pro εἰσάγω, Introduco, vel Duco aut Deduco, in Il. Ω, [446], de Mercurio, Ἄφαρ δ' ὤϊξε πύλας, καὶ ἀπῶσεν ὀχῆας, Ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης. At Il. Z, [252] : Λαοδίκην ἐσάγουσα, pro πορευομένη πρὸς Λαοδίκην. Neutraliter enim aliquando accipitur pro Introeo, Ingredior, ut et alia ab ἄγω composita.

[Εἰσαγόμενοι, Catechumeni, quibus prima fidei Christianæ elementa traduntur. Origenes C. Cels. 3, p. 142 : Τὸ τηνικάδε αὐτοὺς εἰσάγειν, ἰδίᾳ μὲν ποιήσαντας τάγμα τῶν ἄρτι ἀρχομένων καὶ εἰσαγομένων. Et p. seq. de Paulo loquens : Ὁ δ' αὐτὸς ἐπιστάμενος μέν τινα τροφὴν εἶναι τελειοτέραν ψυχῆς, τὰ δὲ τῶν εἰσαγομένων παραβάλλεσθαι γάλακτι νηπίων. Euseb. Præp. ev. 12, p. 337 : Παρ' ἡμῖν τοῖς μὲν ἄρτι εἰσαγομένοις καὶ τὴν ἕξιν ἀτελέσιν, ὡς ἂν τὰς ψυχὰς νηπίοις, ἁπλούστερον ἡ ἐν ταῖς θείαις γραφαῖς ἀνάγνωσις παραδίδοται. Suicer. || Novitii monachi. Joannes Colobus in vita Ms. S. Païsii : Ἦν γάρ τις τῶν εἰσαγομένων ἀνὴρ κατὰ μόνας ἐν τῇ ἐρήμῳ ἀσκῶν. Infra νέον μοναχὸν et εἰσαγωγικὸν ἀρχάριον notat. Ducang. App. Gl. p. 64.]

Εἰσαγωγεὺς, έως, ὁ, [Introductor. Plato Leg. 6, p. 765, A : Ἱκανὸς δὲ καὶ περὶ μονῳδίαν εἷς (ἄρχων), εἰσαγωγεύς τε εἶναι καὶ τοῖς ἁμιλλωμένοις τὴν διάκρισιν ἱκανῶς ἀποδιδούς. Arrian. Epict. 3, 26 : Καθαρτὴς ἀνομίας καὶ ἀδικίας, εἰσαγωγεὺς δὲ δικαιοσύνης καὶ ὁσιότητος, de Hercule. || I. q. εἰσαγγελεύς. Suid. : Εἰσαγωγεὺς, ὁ εἰσάγων πρός τινα ἄνθρωπον. « Εὐνοῦχον μὲν τὸν εἰσαγωγέα, καὶ τοὺς τῇδε παρόντας πολλοὺς τὸν ἄνθρωπον λιπαρεῖν, ἐπίπροσθεν βαίνειν. » Quæ sunt verba Procopii An. c. 12. ||], Qui actionem rei dare potest, et lege agere jubere. Dem. [p. 976] : Οἱ δὲ νόμοι καὶ τούτων διδόασι τὰς παραγραφὰς ἀντιλαγχάνειν, περὶ ὧν οὐκ εἰσὶν εἰσαγωγεῖς, Legibus autem exceptiones dantur earum rerum, quarum actiones apud judices proditæ non sunt. V. Bud. Comm. p. 112. [Id. ib. : Τοῦτο τοίνυν ἐμοῦ παραγεγραμμένου πρὸς τῇ ἄλλῃ παραγραφῇ, καὶ οὐκ ὄντων εἰσαγωγέων τῶν θεσμοθετῶν ὑπὲρ ὧν λαγχάνει Πανταίνετος, ἐξαλήλιπται, καὶ οὐ πρόσεστι τῇ παραγραφῇ. Pollux 8, 38 : Τὰ μὲν πρυτανεῖα ὡρισμένα, ὅ,τι ἔδει καταβαλεῖν πρὸ τῆς δίκης τὸν διώκοντα, καὶ τὸν διωκόμενον· εἰ δὲ μὴ, διέγραφον τὴν δίκην οἱ εἰσαγωγεῖς· 93 : Εἰσαγωγεῖς, ἀρχῆς κληρωτῆς ὄνομα· οὗτοι δὲ τὰς δίκας εἰσήγαγον πρὸς τοὺς διαιτητάς. Lex. rh. Bekk. An. p. 246, 14 : Εἰσαγωγεῖς ἦσαν ἑκάστου δικαστηρίου οἱ ἄρχοντες, οἳ εἰσῆγον αὐτοῖς τὰς δίκας. Gl. : Εἰσαγωγεὺς, Lator, Institutor, Accensor. Memorantur εἰσαγωγεῖς etiam in inscrr. Att. ap. Bœckh. vol. 1, p. 339, 19; ib. n. 205, 2, 17, p. 341, 14. L. D. In papyris Ægyptiacis est Princeps Chrematistarum, h. e. summorum judicum provincias obeuntium ad jus dicendum. Peyron Pap. gr. 1, p. 26, 6 : Τοῖς ἐν τῇ Θηβαΐδι χρηματισταῖς ... ὧν ἦν εἰσαγωγεὺς Διονύσιος. Id. 2, p. 2, 37 : Χρηματιστὰς, ὧν εἰσαγωγεὺς Ἀμμώνιος· it. p. 25, 11, et 1, 95, 8. Hase.]

[Εἰσαγωγέω, Introduco. Zonar. p. 644 : Εἰσαγωγῶ, τὸ ὁδηγῶ, καὶ εἰσαγωγὴ, ἡ ἐπὶ τὰ τέλη ὁδήγησις τῶν λόγων. « Kul. τέλεια, recte; explicatur enim usus ecclesiasticus. » Tittmann. Leg. εἰσάγω.]

Εἰσαγωγὴ, ἡ, Introductio, Intromissio, Importatio. Synes. Epist. 57 : Εἰσαγωγῆς ἄρτων ἀπηγορευμένης τοῖς δεσμοφύλαξι. [Plato Leg. 8, p. 847, D : Ἵππαρχοι καὶ στρατηγοὶ τούτων ἔστωσαν κύριοι εἰσαγωγῆς τε καὶ ἐξαγωγῆς. Pollux 9, 22, de terra : Οὐκ ἀρκοῦσαν τρέφειν τοὺς οἰκήτορας, εἰσαγωγῆς χρῄζουσαν, εἰσαγωγίμων σιτίων, ἐπεισάκτων τροφῶν. Introductio, de homine. Antipater Stob. Fl. vol. 3, p. 18 : Τὴν δὲ τῆς γυναικὸς εἴσοδον οἱονεί τινος φρουρᾶς εἰς πόλιν εἰσαγωγήν (νομίζουσιν). De aquæductu s. canali inscr. Phoc. ap. Bœckh. vol. 1, p. 849, n. 1730 : Θεοῖς σεβαστοῖς καὶ τῇ πόλει τὴν κρήγην ... Ξενοκράτης καὶ Εὐμαρίδας ἀνέθηκαν ἐκ τῶν ἰδίων καὶ τὴν τοῦ ὕδατος εἰσαγωγήν. L. D.] || Εἰσαγωγὴ, sequendo signif. τοῦ εἰσάγειν, quum est verbum forense, Constitutio judicii in aliquem. Et τὴν δίκης εἰσαγωγὴν ἀναδύεσθαι καὶ παραιτεῖσθαι, Experiundi juris potestatem auferre, certamenque detrectare, Bud. Comm. p. 51. [Plato Leg. 9, p. 855, D : Εἰσαγωγὰς δὲ τούτων (criminum) καὶ προσκλήσεις· 871, C : Τίς ὁ τρόπος τῶν τοιούτων δικῶν τῆς εἰσαγωγῆς. || Hesych. : Εἰσαγωγὴ, ἀρχὴ Ἀθήνησι τῶν τὰ ἐγκλήματα εἰσαγόντων. Ubi Scalig. εἰσαγωγεῖς. Sed « nihil mutandum esse, docet Ulpian. ad Dem. C. Mid. p. 151, ubi totidem verba ». Alb.] || Est præterea εἰσαγωγὴ, Scriptio qua prima artis alicujus elementa tradimus, et ad eam lectores velut introducimus, id est ad ejus cognitionem. [Gellius N. A. 16, 8, 1 : « Quum in disciplinas dialecticas induci atque imbui vellemus, necessum fuit adire atque cognoscere quas vocant Dialectici εἰσαγωγάς. » Ernest. Lex. rhet. : « Εἰσαγωγὴ, Propositio, Declaratio, ut τοῦ κεφαλαίου εἰσαγωγὴ, Firmamentorum propositio et tractatio, ap. Hermog. Il. εὑρεσ. 3, p. 90, fit quatuor modis, προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει, λύσει. Quum vero a Dionys. H. Censur. scriptt. 11, p. 423, Euripides dicitur πολὺς ἐν ταῖς ῥητορικαῖς εἰσαγωγαῖς, significantur Artificia, methodus et formæ dicendi, quibus oratores maxime uti soleant ». Arrian. Epict. 1, 29, 23 : Καὶ ποίαν ἔπραξα ἂν εἰσαγωγὴν, ἵν', ἂν ἰσχυρότερος ἐπιλάβηταί μου τοῦ ἱματίου, μὴ συρῶμαι· 2, 16, 34 : Ὅτι εἰσαγωγὰς ἔπραξά τινας καὶ Χρυσίππεια ἀνέγνων. Athen. 4, p. 159, D : Χρύσιππος δ' ἐν τῇ εἰσαγωγῇ τῇ εἰς τὴν περὶ ἀγαθῶν καὶ κακῶν πραγματείαν. Conf. 11, p. 464, D, et dicenda in Συναγωγή. Sextus Adv. log. 8, 428, p. 538 : Ὅτι δ' ἀνεπίκριτόν ἐστι τὸ ὑγιὲς συνημμένον αἱ εἰσαγωγαὶ τῶν Στωικῶν διδάσκουσιν. Ubi Fabricius : « Non dubium mihi est ad Chrysippum a Sexto respici : inter illius enim scripta Diog. L. 8, 195 memorat περὶ συλλογισμῶν, εἰσαγωγῶν (al.

εἰσαγωγικῶν) πρὸς Ζήνωνα α′, τῶν πρὸς εἰσαγωγὴν τρόπων πρὸς Ζήνωνα γ′. Conf. supra 223, p. 500 : Κατ' ἀρχὴν τῆς πρώτης περὶ συλλογισμῶν εἰσαγωγῆς παρὰ Χρυσίππῳ τεταγμένοι.» Cum genit. Proculus De sphæra p. 7 ed. Antv. : Πρὸς τὴν πρώτην εἰσαγωγὴν τῆς ἀστρολογίας, iterumque ibid. L. D. Plut. Mor. p. 43, F : Ἀναστάντες γὰρ ἀπὸ τοῦ θρόνου, καὶ ἀποθέμενοι τὰ βιβλία καὶ τὰς εἰσαγωγὰς, ἐν τοῖς ἀληθινοῖς τοῦ βίου μέρεσι μικροὶ καὶ ὑπὸ χεῖρα φαίνονται τοῖς πολλοῖς. Angl. Athen. 8, p. 362, E : Ἔρανοι δὲ εἰσὶν αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαί· legendum putes συναγωγαὶ, sed vulgatam defendit Eustath. Od. p. 1702, 6. Vid. Casaub. Hemst. Gl. Inductio, Introductio, Institutio, Institutum.]

Εἰσαγωγικὸς, ἡ, ὸν, Introductorius. Liber aliquis s. tractatus dicitur εἰσαγωγικὸς, ad verbum Introductorius, quo aliqui adhuc rudes ad aliquam disciplinam velut introducuntur. Item τὸ εἰσαγωγικὸν, Quod datur pro importatione. [Εἰσαγωγικοὶ sunt Incipientes, Tirones, Pueri adhuc in prima disciplina constituti. Hesych. : Εἰσαγωγικοὺς, νεαροὺς, ἀρχαρίους. Lat. Novelli. V. Ἀρχάριος (et Ducang. supra in Εἰσάγω). Theophan. Hom. 2, p. 8, rationem reddens, cur Christus multa per parabolas docuerit : Ἐπειδὰν πρὸς εἰσαγωγικοὺς ἐποιεῖτο τοὺς λόγους καὶ παχεῖς τὴν διάνοιαν, τούτοις δὲ μᾶλλον ἁρμόδιον ἡ ἐν εἴδει διηγήματος ἐσχηματισμένη διδασκαλία,... διὰ τοῦτο ἐν παραβολαῖς διαλέγεται μάλα γλυκέως τοῦτο ποιῶν. Et Hom. 22, p. 140 : Διὰ τοῦτο προσήκει νοεῖν, ὡς τὸ ἀκολουθῆσαι Χριστῷ καὶ τοῖς εἰσαγωγικοῖς ἐφαρμόζει καὶ τοῖς εἰς τὸ τέλειον φθάσασι τῆς ἀνθρωπίνης δυνάμεως. Et p. 141, de apost. Petro : Πάλιν εἰσαγωγικὴν φωνὴν ἀκούει, (Jo. 21, 23) Ἐὰν θέλω μένειν αὐτὸν ἕως ἔρχομαι, τί πρός σε; Ita baptismus Joannis vocatur εἰσαγωγικὸν βάπτισμα. Ita ap. Dionys. Areop. cap. 2 Eccl. Hier. Contempl. 3, p. 218, εἰσαγωγικὴ ψυχαγωγία, Introductoria animæ directio vel institutio. In his posteriorib. ll. εἰσαγωγικὸν ad verbum est Introductorium quid, quo adhuc rudes ad aliquam disciplinam vel aliud quidpiam velut introducuntur. Suicer. Novitius in statu religioso, Vita S. Nili etc. p. 14 et 20. Boiss. Conf. Eustath. Opusc. p. 216, 70, aliisque ll., qui indicati sunt in indice.]

[Εἰσαγωγικῶς, Institutionis causa. Dionys. cap. 5 Eccl. Hier. n. 2, p. 305 (5, 1, 2, p. 119, D ed. Lanss.) : Πρὸς ἣν ἱερὰν σκηνὴν εἰσαγ. ἱερογραφῶν τὴν κατὰ νόμον ἱεραρχίαν,... ἐκάλει πάντα τὰ κατὰ τὸν νόμον ἱερουργούμενα. Suicer. Εἰσαγωγικώτερον Pappus Alex. ad Apoll. Perg. Conic. proœm. 5. Cramer.]

Εἰσαγώγιμος, ὁ, ἡ, cui opponitur ἐξαγώγιμος, τροφὴ, Victus qui aliunde importatur. Aristot. Rhet. [1, c. 17 : Ἔτι δὲ, περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει, καὶ ποία ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος, καὶ τίνων τ' ἐξαγωγῆς δέονται, καὶ τίνων εἰσαγωγῆς] : τέχνη, Ars advectitia, externa, Plat. De LL. [8, p. 847, D. Ib. C : Τέχνην δεομένην ξενικῶν τινων εἰσαγωγίμων. Σιτία, Pollux in Εἰσαγωγὴ cit. Schol. Thucyd. 5, 83 : Τουτέστι τῶν εἰσαγωγίμων ἢ τῆς θαλάττης αὐτοὺς ἀπέκλεισαν. Translate Eurip. fr. inc. 136, 3 : Ἀβέλτεροι δ' ὅσοι γε τὴν σωτηρίαν οἵκοι παρ' αὐτῶν σχόντες... ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν· Erechth. 1, 8 : Αἱ δ' ἄλλαι πόλεις, πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι, ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι, i. e. εἰσαγόμεναι.] || Εἰσαγώγιμος δίκη, Lis contra cujus exordium præscriptio objici jure non potest, Bud. e Dem. et Isocr. Vide Comm. p. 112. [Pollux 8, 57 : Παραγραφὴ δ' ἦν ἡ αὐτὴ, καὶ παραμαρτυρία (Ms. διαμ.), ὅταν τις μὴ εἰσαγώγιμον εἶναι λέγῃ τὴν δίκην. « Εἰσαγώγιμος causa, quæ est ejusmodi, ut liceat eam judicio cognoscendam committi. Demosth. p. 882, 2; 939, 12 : Παραγεγραμμένος μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. Et 908, 10. Id. 888, 19 : Ἃ (χρήματα) μὴ καταπλεῖν ὅλως οὕτος δεῦρο ἔπραττε, ταῦτ' εἰσαγώγιμα (i. e. τὴν περὶ τούτων κρίσιν εἰσαγώγιμον) τούτῳ ψηφίσαισθε; Quas ille merces operam dedit ut prorsus huc ne deferrentur, super iis cognitionem in foro vestro agitari a vestris judicibus decernatis?» Reisk. Dinarch. C. Demosth. p. 35 : Καὶ πότερον εἰσαγωγίμους καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν;]

[Εἰσαείρω. V. Εἰσαίρω.]

Εἰσαθρέω, Conspicio, Conspicor. Hom. Il. Γ, [450] : Εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα. [Plato ap. Diog. L. 3, 29 (Anth. Pal. 7, 669) : Ἀστέρας εἰσάθρεῖς Ἀστὴρ ἐμός. Hemst. Theocr. 25, 215 : Πάντῃ δ' ὅσσε φέρων ὅλοὸν τέρας ἐσκοπίαζον, εἴ μιν ἐσαθρήσαιμι. Musæus 335 : Εἴπου ἐσαθρήσειεν ἁλώμενον ὃν παρακοίτην. Wakef. Orph. Arg. 516 : Οὓς τότ' ἐσαθρήσαντες... ἐς μόθον ὁρμαίνοντας· 644 : Ἐσαθρήσασαι ἰόντα· 784 : Ταῦτα δ' ἐσαθρήσας. Anth. Pal. App. 197, 3 : Κἄμ' ἔφυγες ποθέοντα καὶ οὐκ ἐσάθρησας ἰοῦσα· Pal. 9, 159, 1 : Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐσαθρῶν. Menand. Exc. Leg. p. 162, C=401, 3 : Εἴ γε τὴν κατ' ἐμὲ ἱππείαν ἐσαθρήσουσι.]

Εἰσαίρω, Infero. Εἰσαίρεται ἡ τράπεζα, Apponitur mensa, interpr. Camer. qui auctorem non citat. Ap. Polluc. 6, c. 12 [§ 83] : Αἱ δὲ ἐπιτιθέμεναι καὶ αἰρόμεναι τράπεζαι. [Aristoph. Ran. 518 : Ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη ἤμελλ' ἀφαιρεῖν χἠ τράπεζ' εἰσήρετο, i. e. sec. schol. εἰσεφέρετο. Conf. Valck. ad Theocr. Adon. p. 326, B—7, B. Ead. signif. utitur forma poet. Εἰσαείρω Theogn. 976 : Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ ... τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων οὔτε Διωνύσου δῶρ' ἐσαειράμενος (ἐσαειρόμενος Schæf.).]

Εἰσαΐσσω, Irruo aliquo, Irrumpo. Et Ἐσαΐσσω [εἰσάσσω] ap. Aristoph. Nub. [543]; unde affertur in VV. LL., Οὐδ' εἰσῆξε δᾳδας ἔχουσα. [996 : Μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν. De qua forma HSt. :] Εἰσάττω, Insilio, Ingredior, VV. LL. Fortasse sonat Raptim aut Cum velocitate insilio. [Aristid. vol. 1, p. 313=553 : Συσπειραθεὶς δὲ ὡς εἶχον εἰσῆξα εἰς τὸ δωμάτιον.]

Εἰσαΐω, Audio. Interdum cum gen. rei, interdum et cum accus. Cum gen. rei, ut ap. [Theocr. 7, 88 : Φωνᾶς εἰσαΐων· Apollon. Rh. 1, 764;] Nonn. [Jo. p. 112, 7] : Φθογγῆς εἰσαΐοντα· cum accus., ut Epigr. [Anth. Plan. 4, 227, 4], Τεττίγων εἰσαΐοντα μέλος. Personæ autem genitivum habet. [Apoll. Rh. 2, 194 : Εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου· 1085 : Κόναβον τεγέων ὕπερ εἰσαΐοντες. Oppian. Cyn. 1, 212 : Εἰσαΐειν κρατερῶν σύνθημα λοχαγῶν. Nicand. Al. 219 : Ἰδαίης ῥιγηλὸν ὅτ' εἰσαΐωσιν ὑλαγμόν. Anth. Pal. 9, 189, 6 : Ἣ γλυκὺν ὕμνον εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης. Nonn. Jo. p. 96, 27 : Εἰσαΐειν ... θέσκελον ὀμφήν. Apollon. Rh. 3, 903 : Τὰ δὲ σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι. L. D. Nullo seq. casu Rhian. ap. schol. Apoll. Rh. 3, 1 : Πᾶσαι δ' εἰσαΐουσι, μιᾶς ὅτε τοὔνομα λέξεις. Hemst. Apoll. Rh. 1, 1103; 3, 145 : Τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι· 3, 368 : Ἄναξ δ' ἐπεχώσατο μύθοις εἰσαΐων, etc. Quintus 12, 121 : Οἱ δέ οἱ εἰσαΐοντες ἀπειρέσιον κεχάροντο.]

[Εἰσακοὴ, ἡ, Exauditio. Philo vol. 1, p. 593, 33 : Συμεὼν ὄνομα μαθήσεως καὶ διδασκαλίας ἐστίν· εἰσακοὴ γὰρ ἑρμηνεύεται· quæ iterantur ib. p. 663, 32. Hase.]

[Εἰσακολουθέω scriptura vitiosa duorum librorum Diodori 19, 30.]

Εἰσακοντίζω, Jaculor in aliquem locum. In VV. LL. exp. Missilia ingero. [Et in Ind. :] Jaculor in, Jacula immitto, Jacula torqueo in. [Herodot. 1, 43 : Περιστάντες τὸ θηρίον κύκλῳ ἐσηκόντιζον· 9, 49 : Ἐσινέοντο πᾶσαν τὴν στρατιὴν... ἐσακοντίζοντές τε καὶ τοξεύοντες.] Thuc. 2, [79] : Ἀποχωροῦσι δὲ ἐνέκειντο καὶ ἐσηκόντιζον. [Conf. 3, 97, 98; 5, 10; 7, 78. Id. 3, 23 : Ἐσηκόντιζον ἐς τὰ γυμνά. Xen. An. 7, 4, 15 : Ἐπεὶ δ' ἐγένοντο κατὰ τὰς θύρας ἑκάστου τοῦ οἰκήματος, οἱ μὲν εἰσηκόντιζον, οἱ δὲ τοῖς σκυτάλοις ἔβαλλον. L. D. Epinicus ap. Athen. 11, p. 497, B : Ὁ Βελλεροφόντης ἐστὶν ἀπὸ τοῦ Πηγάσου τὴν πύρπνοον Χίμαιραν εἰσηκοντικώς. Schneid. Pass. Philo vol. 2, p. 101, 31 : Καὶ γὰρ πόρρωθεν μετὰ ῥοίζου καθάπερ βέλος εἰσακοντίζεται. Wakef. Improprie Eur. Hel. 1588 : Αἵματος δ' ἀπορροαὶ ἐς οἶδμ' ἐσηκόντιζον οὔρια ξένῳ, de victimæ cruore in mare manante.]

[Εἰσάκουσις, ἡ, Docilitas. Greg. Tephr. Disput. p. 57, 1 : Διὰ τοῦτο ἄξιος εἶ πειθοῦς καὶ εἰσακούσεως. Hase.]

[Εἰσακουστὸς, ἡ, ὸν, Qui exauditur, Exaudibilis. Basil. t. 1, p. 220, C : Τοῦ τοιούτου ἡ κραυγὴ εἰσακουστὴ τῷ Κυρίῳ. Hase.]

Εἰσακούω, vel Ἐσακούω, Exaudio [Gl.], ea signif. qua dicitur a Cic., Ut idem omnes exaudiant, voce clarissima dicam. Thucyd. 4, p. 133 [c. 34] : Ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων, τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες. Sic 5, p. 180 [c. 45] : Τοῦ Ἀλκιβιάδου καταβοῶντος ἐσήκουον. [Locus posterior pertinet ad signif. Obtemperandi s. Morem gerendi, de

qua infra. Eurip. Iph. A. 1368 : Μῆτερ, εἰσακούσατε τῶν ἐμῶν λόγων. Theocr. 13, 61 : Ἐσακούσας νεβρῷ φθεγξαμένας· 24, 34 : Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς. Aret. Diut. m. sign. 2, 1, p. 49=57 : Ἐσακούειν τοῦ κλύδωνος. Pass. Aristot. Probl. 11, 37 : Διὰ τί ἔξωθεν εἰς τὰς οἰκίας εἰσακούεται μᾶλλον ἢ ἔσωθεν ἔξω;] || Ponitur ἐσακούω et pro Pareo, ab [Hom. Il. Θ, 97 : Ὣς ἔφατ'· οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεὺς, ἀλλὰ παρήιξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν, quanquam eo l. subest etiam signif. Exaudiendi,] Thuc. et alibi. [1, 126 : Ἐπρεσβεύοντο πρὸς τοὺς Ἀθηναίους, ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσακούωσι· 3, 4 : Οὐκ ἐσακουόντων δὲ τῶν Μυτιληναίων ἐς πόλεμον καθίσταντο. Conf. 4, 110; 5, 50; 8, 31, 32, 86. Et c. gen. 5, 22 : Ὡς δ' αὐτῶν οὐκ ἐσήκουον. Xen. H. Gr. 5, 2, 13 : Ἐπεὶ δὲ εἰσήκουσαν αἱ ἐγγύτατα αὐτῶν (civitates), ταχὺ καὶ ἐπὶ τὰς πόρρω καὶ μείζους ἐπορεύοντο. C. dat. Herodot. 1, 214 : Ὡς οἱ ὁ Κῦρος οὐκ ἐσήκουσε· 6, 86 : Ὡς οἱ οὐδὲ οὕτω ἐσήκουον οἱ Ἀθηναῖοι. Id. c. accus. rei 9, 60 : Ὥστε καὶ ταῦτα ἐσακούειν.] || Εἰσακούω, in N. T. et ap. LXX Interprr., pro Exaudio, illo etiam sensu quo dicitur Deus exaudire preces. Sic et pass. Εἰσακούομαι, Exaudior, Preces meæ exaudiuntur, ut Matth. 6, [7] : Ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Dicitur et ipsa precatio εἰσακούεσθαι, ut Lucæ 1, [13]: Διότι εἰσηκούσθη ἡ δέησίς σου. || Εἰσακούω simpliciter pro ἀκούω, ap. Soph. [Aj. 789] : Τοῦδ' εἰσάκουε τἀνδρός. [OEd. C. 1645 : Τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν· Tr. 351 : Τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγώ. C. accus. rei Soph. El. 38 : Ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν. Eurip. Hec. 555 : Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος, etc. Apollon. Rh. 1, 766 : Ἑλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι βάξιν· 3, 696 : Τοῖ' ἐσάκουσεν. Duplici structura c. gen. pers. et accus. rei id. 3, 914 : Ὅτ' ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν ἠερίην Ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν. Quod schol. exp. : Παρὰ τῶν κασιγνήτων εἰσήκουσε τὴν Μήδειαν κατὰ τὸν ὄρθρον ἀφίξεσθαι εἰς τὸν τῆς Ἑκάτης ναόν. C. partic. sic etiam Eur. El. 416 : Ζῶντ' εἰσακούσας παῖδα. Et similiter Herc. F. 516 : Ὃδ' ἐστὶν ὃν γῆς νέρθεν εἰσηκούομεν. L. Dind.]

[Εἰσακτέον, Introducendum, In jus vocandum. Xenoph. Hipparch. 1, 10 : Εἰς τὸ δικαστήριον τούτους εἰσακτέον. Aristoph. Vesp. 839 : Τοῦτ' ἆρα πρῶτον τἀδίκημα τῷ πατρὶ εἰσακτέον μοι. Hermog. p. 370.]

[Εἰσάκτης, ου, ὁ, Inductor, Gl.]

[Εἰσαλαλάζω. Hesych. : Ἐσαλάλαζεν, ἐποτνίαζεν, Precabatur.]

[Εἰσαλείφω, Inungo. Hippocr. De nat. mul. p. 566, 14 : Ἐσαλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων ἔλαιον χήνειον. L. Dind.]

Εἰσάλλομαι, Insilio. Aor. 1 med. εἰσηλάμην. [Eubul. ap. schol. Arist. Pl. 1130 : Ἀσκὸν εἰς μέσον καταθέντες εἰσάλλεσθε, καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν.] —Ἐσαλλομαι, Insilio, ut [Pind. Ol. 8, 38 : Γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη, νέον πύργον ἐσαλλόμενοι τρεῖς. Hom. Il. M, 438, Π, 558 : Ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν. Soph. Antig. 1346 : Τὰ δ' ἐπὶ κρατί μοι πότμος δυσκόμιστος εἰσήλατο. Xen. Cyrop. 7, 4, 4 : Ἐν ταύτῃ (nocte) εἰσήλατο εἰς τὰ τείχη, de eo qui castellis quibusdam dolo potitus esset], Ἐσήλατο πυρὸς κρατῆρας, in [ep. Diog. L. 8, 75] Anthol. [Pal. 7, 124, 3], Insiliit in crateras ignis. Dicitur et ἐσᾶλτο per syncopen a poetis, [Hom. Il. M, 466 : Ὅτ' ἐσᾶλτο πύλας· N, 679 : Πύλας καὶ τεῖχος ἐσᾶλτο. Aor. sec. forma vulg. Athen. 1, p. 23, D : Σάτυρος παρὰ Σοφοκλεῖ τοῦτό φησιν, ... Τῷ Ἡρακλεῖ ... μέσον εἰς τὸν αὐχέν' εἰσαλοίμην.]

[Εἰσαμείβω, Ingredior. Æsch. Sept. 558 : Ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακὰ, οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος.]

Εἰσαναβαίνω, Inscendo, Ascendo. Hom. [Il. Θ, 291] : Ἐμὸν [δόμον] λέχος εἰσαναβαίνει [-νοι]. Id. [Il. Ω, 97] : Ἀκτὴν δ' εἰσαναβᾶσαι ἐς οὐρανὸν ἀΐχθήτην. [Et alibi ipse aliique Epici. Soph. OEd. T. 876 : Ἀκρότατον εἰσαναβᾶσα. Orac. Theseo editum ap. Gronov. ad Herodot. 1, 65 et Schweigh. ad 5, 92 : Ὄλβιος οὗτος ἀνὴρ, ὃς νῦν κατὰ λάϊνον οὐδὸν Φοίβου Ἀπόλλωνος χρηστήριον εἰσαναβαίνει.]

[Εἰσαναβιβάζω, Impono. Cod. Brunckianus Soph. OEd. T. 877 εἰσαναβιβάσασα vitiose pro εἰσαναβᾶσα.]

[Εἰσαναβολὴ, ἡ, pro ἀναβολὴ, Dilatione, dictum putatur ap. Dion. Cass. 46, 41 : Ἐκεῖνος δὲ ... δεινῶς ἀγαναχτῶν οὐκ ἔτ' ἐσαναβολὰς ἐποιήσατο, ἀλλ' ἐπί τε τὰ ὅπλα καὶ τὴν ἰσχὺν αὐτῶν ἐτράπετο. Sed leg. cum intt. ἀναβ. vel ἐς ἀναβ.]

Εἰσαναγκάζω, pro simplici ἀναγκάζω, Cogo, etc. Platoni : ut εἰσβιάζεσθαι pro βιάζεσθαι, inquit Bud. [Æsch. Prom. 290 : Τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως ἐσαναγκάζει. Plato Tim. p. 49, A : Νῦν δὲ ὁ λόγος ἔοικεν εἰσαναγκάζειν ... ἐπιχειρεῖν.]

[Εἰσανάγω, Deduco in, Adduco. Hom. Od. Θ, 529 : Εἶρερον εἰσανάγουσι. Tryphiodor. 136 : Ὅπως αὐτάγρετον ἄλγος Τρῶες ἀταρβήτοιο θεῆς ἀπατηνορα τέχνην Ἴλιον εἰσανάγωσιν, ἑὸν κακὸν ἀμφαγαπῶντες. Wakef. Marian. Anth. Plan. 4, 201, 8 : Ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω. Polyb. 1, 82, 2 : Τοὺς δὲ ζωγρείᾳ πρὸς αὐτὸν εἰσαναχθέντας.]

[Εἰσαναλίσκω, Insumo. Antiphanes Athen. 3, p. 104, A : Οὐ βέβαιον οὐδέν ἐστι, πλὴν ὅσ' ἂν καθ' ἡμέραν εἰς ἑαυτὸν ἡδέως τις εἰσαναλίσκων τύχῃ.]

Ἐσανδρόω, Viris impleo, Virili prole habitatum reddo. Apoll. Rh. 2 [1, 872] : Τὸν δ' ἐνὶ λέκτροις Ὑψιπύλης εἴτε πανήμερον, εἰσόκε Λῆμνον Παισὶν ἐσανδρώσῃ, Donec Lemnum virili sobole implerit. Paulo ante dicit, Ὄφρα κεν αὖτις Ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι Λῆμνος. Olim enim in Lemno [ib. 611] κουριδίας μὲν ἀπηνήναντο γυναῖκας Ἀνέρες ἐχθήραντες, ἔχον δ' ἐπὶ ληϊάδεσσι Τρηχὺν ἔρον. Quamobrem illæ zelotypia tactæ et accensæ σὺν τῆσιν ἑοὺς ἔρραισαν ἀκοίτας Ἀμφ' εὐνῇ, πᾶν δ' ἄρσεν ὁμοῦ γένος. [Nisi leg, ἐνανδρ. Hemst.]

[Εἰσάνειμι, Ascendo in. Hom, Il. H, 423 : Ἐξ Ὠκεανοῦ οὐρανὸν εἰσανιών. Et sim. Hesiod. Theog. 761. Apoll. Rh. 1, 1092 : Τόδ' ἱερὸν εἰσανιόντα.]

Εἰσανέχω, Insurgo, Exsurgo, VV. LL. [Apoll. Rh. 1, 1360 : Χθονὸς εἰσανέχουσαν ἀκτήν· 4, 291 : Βαθὺν διὰ κόλπον ἴησι σχιζόμενος πόντου Τρινακρίου εἰσανέχοντα· 1578 : Κεῖνο δ' ὑπηέριον θείην Πελοπηίδα γαῖαν εἰσανέχει πέλαγος Κρήτης ὕπερ.]

[Εἰσανοράω, Suspicio. Hom. Il. Ω, 307 : Οὐρανὸν εἰσανιδών.]

[Εἰσανορούω, Irruo. Quintus 2, 658 : Τότε δ' ἄμβροτος Ἠὼς οὐρανὸν εἰσανόρουσεν ὁμῶς πολυαλδέσιν Ὥραις· 14, 2 : Ἠὼς οὐρανὸν εἰσανόρουσεν.]

[Εἰσαντλέω, Infundo, Ingero. Athen. 10, p. 416, B : Κλέαρχος δ' ἐν πέμπτῳ βίων Καντιβάρι φησὶ τῷ Πέρσῃ, ὁπότε κοπιάσειε τὰς σιαγόνας ἐσθίων, κεχηνότι καθάπερ εἰς ἄψυχον ἀγγεῖον εἰσαντλεῖν τὴν τροφὴν τοὺς οἰκείους.]

[Εἰσαποβαίνω, Escendo in. Apoll. Rh. 4, 650 : Στοιχάδας εἰσαπέβαν νήσους· 1781 : Ἀσπασίως ἀκτὰς Παγασηίδας εἰσαπόβητε. Egredior in, ib. 927 : Ἐκ δὲ τόθεν Ῥοδανοῖο βαθὺν ῥόον εἰσαπέβησαν.]

[Εἰσαποκλείω, Includo. Severus inter Rhett. Select. Galei p. 229 : Τοὺς ἐχθροὺς ... τοῖς τείχεσιν εἰσαπέκλειον.]

[Εἰσαποστέλλω, Emitto s. Mitto in vel ad. Antonin. Lib. c. 41, p. 274 : Πρόκριδι δὲ εἰσαπέστειλεν ἄνδρα οἰκέτην ... φέροντα χρυσὸν πολύν. Argum. Eur. Or. initio : Νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε.]

[Εἰσαράσσω vel Εἰσαράττω, Illido, Impello, Intrudo. Dio Cass. 42, 40 : Τοὺς λοιποὺς ἐς τὰς ναῦς ἐσήραξαν· 51, 26 : Τὴν ἵππον ἐς τοὺς πεζοὺς ἐσήραξε· 68, 31 : Ὥστε καὶ ἐς τὸ στρατόπεδον αὐτοὺς ἐσαραχθῆναι. Gl. : Εἰσήραξον, Inger. De forma Ἐσαρ. HSt. :] Ἐσαράσσω, άξω, Repello : unde illud in VV. LL., Ἐσαράξαντες [σφεας] ἐς τὰς νέας. [Ex Herodot. 5, 116, Postquam eos rejecerunt in ... Id. 4, 128 : Ἐσαράξαντες τὴν ἵππον, scil. ἐς τοὺς πεζούς, Rejectis, Repulsis equitibus usque ad pedites. Schweigh.]

[Εἰσαριθμέω, unde εἰσαριθμούμενος pro εἷς ἀριθμούμενος legebatur olim ap. Diodorum Exc. vol. 2, p. 491, 21.]

[Εἰσαρπάζω, Arripio. Lysias p. 94=29 R. : Οὕτως, ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν, ὥνπερ καὶ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ' ἐπὶ τὴν ἑστίαν καταφυγών· 97=142 : Φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν' ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσαιεν αὐτόν. Seager. Vertendum, Intus rapio.]

[Εἰσαρτίζω vel Ἐσαρτίζω, Quadro in. Hippocr. De morb. 2, p. 471, 48 : Εἶναι δὲ μέγεθος (spongiam), ὥστε ἐσαρτίζειν ἐς τὸν μυκτῆρα.]

[Εἰσαρύομαι, Haurio. Hippocr. De gland. 4 (?). Schneid.]

[Εἰσᾶς, ᾶ, n. pr. viri in mon. Att. ap. Bœckh. vol. 1, p. 382, 57 : ΙΠΠΕΥΣΙ ΕΙΣΑ. Videtur poni pro Ἰσᾶ, ut in iisdem frequens est Εἰσιδοτος et sim. Conf. p. 386, n. 277, 16; p. 391, n. 282, 23; p. 397, n. 287, 9. L. Dindorf.]

[Εἰσάττω. V. Εἰσαΐσσω.]

[Εἰσαυγάζω, Intueor.] Ἐσαυγάζω, ex Epigr. [Diotimi Anth. Pal. 5, 106, 5 : Εἶδος ἐσαυγάζων μοῦνον γλυκὺ], pro Inspicio.

[Εἰσάφασμα, τό. V. Εἰσαφάσσω.]

[Εἰσαφάσσω, Attrecto, Tracto, Immitto manum contrectandi causa. Hippocr. De nat. mul. p. 566, 50 : Ἢν ἐσαφάσσῃς τὸν δάκτυλον, quod p. 576, 55 ἀφάσσων dicitur. Hesych. : Εἰσαφάσματα, εἰσπτήματα, ἀπὸ τοῦ εἰσαφιέναι· ἢ σπαράγματα, Αἰσχύλος Προμηθεῖ λυομένῳ. Id. : Ἐπεσφάσσεσθαι, λαθεῖν, Λάκωνες. Quæ gl. varie tentatur ab intt.]

Εἰσαφίημι, Jacio intro s. projicio. Aut etiam Jaculor intro. [Intromitto. Xenoph. Cyrop. 4, 5, 14 : Οἱ φύλακες ... οὐκ εἰσαφῆκαν αὐτοὺς πρὸ ἡμέρας. Strabo 15, p. 704 : Εἶτ' εἰσαφιᾶσι (in locum fossa circumdatum) τὰς θηλείας τὰς ἡμερωτάτας τρεῖς. Hemst. Joseph. Bell. Jud. 1, 13, 3 : Παρακαλεῖ Πάκορον εἰσαφεῖναι, In urbem admitti; et ib. 5, 13, 1 : Εἰσαφεῖναι τὸν Σίμωνα βοηθὸν, Recipere. Hase.]

Εἰσαφικάνω, Advenio, Pervenio. Hom. Od. X, [99] : Μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν. [Theocr. 22, 29 : Βέβρυκας εἰσαφίκανε.] Apud Hesiod. quoque [Sc. 45], Ἑὸν δόμον εἰσαφίκανε. [Id. fr. ap. schol. Pind. Pyth. 6, 19 : Ὅτ' εἰς δόμον εἰσαφίκηαι. Apoll. Rh. 3, 888 : Νηὸν δ' εἰσαφίκανε, etc. ᾱ]

Εἰσαφικνέομαι, Advenio. i. q. ἀφικνέομαι. Hom. Od. O, [38] : Συβώτην εἰσαφικέσθαι. [Eur. Andr. 13 : Ἑλλάδ' εἰσαφικόμην. Apoll. Rh. 4, 302 : Ὅως Ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο, et al.] — Ἐσ., Pervenio ad, Accedo. Ἐσαπικνέεσθαι, Venire ad, Accedere : Ionice ap. Herodot. pro εἰσαφικνεῖσθαι. [1, 2 : Τῇ τε ἄλλῃ χώρῃ ἐσαπικνέεσθαι καὶ δὴ καὶ ἐς Ἄργος· 9, 100 : Φήμῃ τοῖσι Ἕλλησι τοῖσι ταύτῃ ἐσαπίκετο· 101 : Πρὶν τὴν φήμην ἐσαπικέσθαι. Plato Leg. 8, p. 848, A : Ὅσοι χρείᾳ τινὶ πόλεως ... εἰσαφικνοῦνται· Menon. p. 92, B : Αἱ πόλεις ἐῶσαι αὐτοὺς εἰσαφικνεῖσθαι. Xen. Vectig. 3, 12 : Τοῖς εἰσαφικνουμένοις δημόσια καταγώγια· 5, 1 : Πολὺ γὰρ ἂν αὕτη ἡ ἀρχὴ ... πυκνοτέραν εἰσαφικνεῖσθαι πᾶσιν ἀνθρώποις ποιήσειε τὴν πόλιν. Æneas Tact. c 30, p. 91 : Τὰ εἰσαφικνούμενά τε καὶ ἠθροισμένα ὅπλα. L. D. Aristid. vol. 1, p. 182=317 : Τῇ τῶν Ἐλευσινίων τελετῇ τοῖς εἰσαφικνουμένοις ἐξηγηταὶ τῶν ἱερῶν καὶ μυσταγωγοὶ κέκλησθε. Hemst.]

[Εἰσαφύομαι, Infundo, Haurio. Apoll. Rh. 4, 1692 : Ὑδωρ δ' εἰσαφύσαντο. ῠ]

Εἰσβαίνω, vel Ἐσβαίνω, [ήσομαι, Thucyd. 8, 96], Ingredior. [Hom. Od. I, 103 : Οἱ δ' αἶψ' εἰσβαινον.] Ἐσβὰς ἐς ποταμὸν, Herodot. [Ap. eund. est ἐς νῆα ἐσβ. 7, 128; 8, 58, et in var. script. 2, 29; 5, 109, ubi alii ἐμβ. Eur. Electr. 775 : Εἰσβάντες ἦμεν δίκροτον εἰς ἁμαξιτόν.] Apud poetas autem εἰσβῆσαι act. etiam pro Impono, et q. d. Ingredi facio : Hom. Il. A, [310] : Ἐς δ' ἑκατόμβην Βῆσε θεῷ, Imposuit navi, ut contra [438] : Ἐκ δ' ἑκατόμβην βῆσαν ἐκηβόλῳ Ἀπόλλωνι, pro Exposuerunt e navi in terram, Eduxerunt e navi. Sic Apoll. Rh. [2, 167] : Ληΐδα τ' εἰσβήσαντες ὅσην χρεὼ ἦεν ἄγεσθαι. [Eur. Alc. 1055 : Ἡ τῆς θανούσης θάλαμον εἰσβήσας τρέφω (mulierem); Bacch. 466 : Πόθεν δὲ τελετὰς τάσδ' ἄγεις ἐς Ἑλλάδα; Διόνυσος ἡμᾶς εἰσέβησ' ὁ τοῦ Διός. C. accus. Eur. tum alibi tum Iph. T. 1079 : Εἰσβαίνειν δόμους· Tro. 681 : Αὐτὴ μὲν οὔπω ναὸς εἰσέβην σκάφος. Soph. OEd. C. 997 : Τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά. Anth. Pal. 7, 621, 1 : Στυγερὸν δόμον Ἄϊδος ἔσβην. C. πρὸς Soph. Antig. 1205 : Πρὸς ... νυμφεῖον εἰσεβαίνομεν. C. dat. Soph. Tr. 298 : Ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη. Sine casu Hom. Il. K, 573 : Αὐτοὶ δ' ἰδρῷ πολλὸν ἀπενίζοντο θαλάσσῃ ἐσβάντες, ubi al. ἐμβ., quam confusionem vidimus supra in Il. Herod. De navibus conscensis Thuc. 1, 143 : Ἐσβάντων αὐτῶν τε καὶ τῶν μετοίκων· 2, 67 : Πορευομένους αὐτοὺς ... ἐπὶ τὸ πλοῖον ... πρὶν ἐσβαίνειν ξυλλαμβάνει. Et alibi sæpe. Xen. H. Gr. 1, 6, 25 : Ἐσβαίνειν ἀναγκάσαντες ἅπαντας. Æsch. Suppl. 471 : Ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον τόδ' ἐσβέβηκε, κοὐδαμοῦ λιμὴν κακῶν. Ubi al. ἐσβέβηκα.]

Εἰσβάλλω, Injicio, Immitto, opp. τῷ ἐκβάλλω. Sic Herodot. [1, 179], εἰσβάλλειν τὸ ῥέεθρον, ut Hom. citra comp., εἰς ἅλα βάλλειν. Quo etiam modo dictum est illud, Ῥόον εἰς ἅλα βάλλει. [Thucyd. 2, 48 : Ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα· 67 : Τοὺς ἐμπόρους ... ἐς φάραγγας ἐσβαλόντες. Translate de cohortibus aciei inserendis 5, 71 : Ἐς δὲ τὸ διάκενον τοῦτο παρήγγελλεν ἀπὸ τοῦ δεξιοῦ κέρως δύο λόχους τῶν πολεμάρχων Ἱπποκοΐδᾳ καὶ Ἀριστοκλεῖ ἔχουσι παρελθεῖν καὶ ἐσβαλόντας πληρῶσαι. Æsch. Prom. 1075 : Μηδέ ποτ' εἴπηθ' ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν. Soph. Aj. 60 : Εἰσέβαλλον εἰς ἔρκη κακά. Plut. Mor. p. 653, B : Ἐσπάραττον τὸν Ἐπίκουρον, ὡς οὐ καλὸν οὐδ' ἀναγκαῖον εἰσβεβληκότα λόγον περὶ καιροῦ συνουσίας εἰς τὸ συμπόσιον. L. D.] Eur. quoque [Iph. T. 261] εἰσβάλλειν accus. junxit, sed qui regatur a præp. : Βοῦς πόντον εἰσεβάλλομεν, Boves ad mare ducebamus, vel agebamus. [Id. ead. signif. c. præp. El. 79 : Ἐγὼ δ' ἅμ' ἡμέρᾳ βοῦς εἰς ἀρούρας ἐσβαλὼν σπερῶ γύας.] || Εἰσβάλλω usitatius neutr. pro Ingredior, Introeo, [Irripio, Introrumpo add. Gl.] : cum præp. εἰς Theophr. [H. Pl. 9, 7, 1] : Εἰσβάλλοντι δὲ εἰς τόπον εὐθὺς ἡ ὀσμὴ προσβάλλει. [Diodor. 4, 51 : Εἰς τὴν πόλιν εἰσβαλεῖν ἅμα ἡμέρᾳ. Et ib. : Εἰσβαλεῖν τὴν Μήδειαν εἰς τὰ βασίλεια. Palæph. Incr. c. 14, 4 : Εἰσβάλλοντες εἰς τὴν πόλιν διεφήμιζον ὡς οἱ περὶ Ἀταλάντην καὶ Μειλανίωνα εἰς λέοντας μετεβλήθησαν. C. πρὸς Thucyd. 4, 25 : Τῷ δὲ πεζῷ πρὸς τὴν πόλιν ἐσέβαλλον. Translate Geop. 2, 3, 4 : Ἡ τοῦ ἡλίου θερμότης τάχιον εἰσβάλλουσα (in ædes).] Sic fluvii ipsi dicuntur εἰσβάλλειν, Ingredi, i. e. Influere, ut Polyb. 4, [41, 1] : Τοῦ γὰρ Ἴστρου πλείοσι στόμασιν εἰς τὸν πόντον εἰσβάλλοντος. De iisdem dicitur et ἐκβάλλειν. Quomodo autem hæc duo contraria signif. verba dici de re ead. possint, docebo in Ἐκβάλλω. [Thomas p. 278 : Ἐκβάλλει καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλατταν καὶ ἐξίησιν, οὐκ εἰσβάλλει. Quam observationem refellit Herodot. 4, 48 : Ὁ δὲ δὴ Ἀραρός τε καὶ ὁ Νάπαρις ... ἐσβάλλουσι ἐς τὸν Ἴστρον· 49 : Ἐκ δὲ τοῦ Αἵμου τῶν κορυφέων τρεῖς (ποταμοὶ) ἐσβάλλουσι ἐς αὐτόν· 57 : Ἐς Τάναϊν ἄλλος ποταμὸς ἐσβάλλει. Xen. An. 1, 7, 15 : Εἰσβάλλουσι δὲ εἰς τὸν Εὐφράτην (αἱ διώρυχες)· ut omittam recentiores ab intt. Thomæ citatos. C. accus. Eur. Hipp. 1198 : Ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν. Conf. Bacch. 1043, Andr. 968. Apoll. Rh. 1, 927 : Κούρης Ἀθαμαντίδος αἰπὰ ῥέεθρα εἰσέβαλον· 4, 639, 826. Et divisim 4, 596 : Ἐς δ' ἔβαλον μύχατον ῥόον Ἠριδανοῖο.] || Ingredior hostiliter; Invado, Aggredior, ut εἰσβάλλειν εἰς τὴν Ἀττικὴν, Thuc. [1, 109, 114, 125, etc.], quod et ἐμβάλλειν, et quidem frequentius. [Diodor. 12, 78 : Εἰσέβαλεν εἰς τὴν Ἀργείαν. Absolute Thuc. 2, 54 : Ἐσβεβληκότων τῶν Πελοποννησίων. De incurrentibus in hostem id. 6, 70 : Ἐσβαλόντας ἐς τοὺς ὁπλίτας, εἴ τινας προδιώκοντας ἴδοιεν, ἀνέστελλον· 101 : Ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων.] Et πυρετὸς εἰσβάλλει, non addita præp., Galeno, Febris invadit, s. adoritur. [Aret. Acut. m. cur. 1, 1, p. 73=83 : Ἦν μὲν ὦν ἡ παραφορὴ ξὺν πυρετῷ ἀρχῆθεν εἰσβάλλῃ· ib. 2, p. 79=89 : Ἢν ἀρχῆθεν ἡ νοῦσος εἰσβάλλῃ· 5, p. 83=94 : Ἢν ὀξέως εἰσβάλλῃ ἡ νοῦσος. L. Dindorf.] — Ἐσβάλλω, pro εἰσβάλλω, Injicio, Immitto [Herodot. 1, 14 : Ἐσέβαλε μέν νυν στρατιὴν καὶ οὗτος ... ἔς τε Μίλητον καὶ ἐς Σμύρνην (l. Σμύρναν). Et ib. 17, 18], Impono. Herodot. [6, 95] : Ἐσβάλλομαι τοὺς ἵππους ἐς νέας, Impono s. Introduco equos in naves. [1, 1 : Ἐσβαλομένους ἐς τὴν νέα (Europam) οἴχεσθαι ἀποπλέοντας. Thuc. 8, 31 : Τὰ μὲν διήρπασαν καὶ ἀνάλωσαν, τὰ δὲ ἐσβαλόμενοι, ἀπέπλευσαν. L. Dind.] Ap. Eundem neutraliter pro Ingredior, Ἐσβάλλει ἐς Τάναϊν : et Ἐσβάλλει ἐς Αἴγυπτον. [Conf. 1, 15 : Ἐς Μίλητόν τε ἐσέβαλε· 16 : Ἐς Κλαζομενάς τε ἐσέβαλε, etc.] Alioqui in neutr. signif. pro Irruo, Invado, Irrumpo. Aristoph. Ach. [762] : Ὄκκ' ἐσβαλεῖτε, τὼς ἀρουραῖοι μύες, Quum irruetis in agros veluti agrestes s. arvales mures. Ubi schol. ἐσβαλεῖν esse vult τό τινας ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. [Soph. El. 719 : Ὁμοῦ γὰρ ἀμφὶ νῶτα

καὶ τροχῶν βάσεις ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί. || Ordior. Schol. Pind. Nem. 7, 1 : Ἀπὸ τῆς Εἰλειθυίας εἰσβέβληκε, Ab Ilithyia carmen orsus est. Galen. vol. 12, p. 357, D : Κατὰ τὸ ἔαρ εἰσβάλλον, Initio veris. Hemst. Eust. Od. p. 1405, 45 : Τὸ δὲ εἰσβάλλειν καὶ ἡ εἰσβολὴ ἀρχήν τινα ἔργου ἢ πάθους ἢ καὶ τοπικὴν ἐμφαίνει. || Εἰσβαλόντες et εἰσβάντες confusa Diodori 18, 25.]

Εἴσβᾰσις, εως, ἡ, Ingressus. [Eur. Iph. T. 101 : Ἦν δ' ἀνοίγοντες πύλας ληφθῶμεν, εἰσβάσεις τε μηχανώμενοι, θανούμεθα. Seager. Thucyd. 7, 30 : Καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει (in naves) τοὺς πλείστους. Dio Cass. 41, 42 : Ἐν τῇ ἐς τὰ πλοῖα ἐσβάσει. L. Dindorf.]

Εἰσβατὸς, ὁ, ἡ, ut εἰσβατὸς τόπος, Locus quem ingredi possumus. [Thuc. 2, 41 : Πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι. Procop. De B. V. p. 286, B : Ὅπως μὴ αὖθις τοῦτο δὴ τὸ ὄρος Μαυρουσίοις ἐσβατὸν ἔσται· De B. G. p. 309, B : (Ἡιὼν) τῷ πεζῷ στρατῷ ἐσβατή. L. D.]

[Εἰσβάλλω, Sugo. Galen. vol. 4, p. 374 : Ὥστε δι' ἄμφω ταῦτα ἀδύνατον ἦν αὐτοῖς, ὥσπερ φυτοῖς τὸν ἐκ τῆς γῆς εἰσβάλλειν χυμόν. L. Dindorf.]

Εἰσβιάζομαι, Vim infero, Violenter aliquid facio. Dem. [p. 1004] : Κατὰ τῶν αὐτοὺς εἰσβιαζομένων ἄκοντας ποιεῖσθαι, Qui violenter se cogunt adoptari. Hæc Bud. Item, Vi ingredior, Bud. q. d. Per vim irrumpo, Vi in aliquem locum contendo. Basil. : Εἰς βασιλείαν εἰσβιασάμενος. Sic Plut. [Num. c. 1] : Εἰσβιάζονται εἰς τοὺς οἴκους. [Aristoph. Av. 32 : Ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται. Diodor. 14, 9 : Εἰσεβιάσαντο πρὸς τὸν Διονύσιον, ubi εἰσεβιβάσαντο libri. Ib. 86 : Ἐντὸς τοῦ διατειχίσματος εἰσεβιάζοντο. Lucian. Nigrin. c. 31 : Καὶ τοῦτο δὲ τὸ ἐν ταῖς τραγῳδίαις τε καὶ κωμῳδίαις λεγόμενον ἤδη καὶ παρὰ θύραν εἰσβιαζόμενοι· Bis acc. c. 31 : Κωμαζόντων ἐπ' αὐτὴν, ... ἐνίων δὲ καὶ εἰσβιάζεσθαι σὺν οὐδενὶ κόσμῳ τολμώντων. Dio Cass. 42, 47 : Ἐπὶ τὸν Βόσπορον μετὰ ποῦτο ἐσβιαζόμενον ὁ Ἄσανδρος εἶρξέ τε καὶ ἀπέκτεινε.]

Εἰσβιβάζω, Inscendere facio. Isocr. [De pace p. 169, A] : Καὶ τότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ δούλους ναύτας εἰσεβίβαζον.—Ἐσβιβάζω, Introduco. Ion. vel Attice. [Herodot. 1, 60 : Τὴν γυναῖκα ἐς ἅρμα ἐσβιβάσαντες· 6, 95 : Τὸν πεζὸν στρατὸν ἐσβιβάσαντες ἐς τὰς νέας. Thuc. 7, 60 : Τὰς ναῦς ἁπάσας ... πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι. Ib. : Τοξότας ... ἐσεβίβαζον. Xen. An. 5, 3, 1 : Τοὺς πρεσβυτάτους τῶν στρατηγῶν εἰσβιβάσαντες (in naves)· H. Gr. 1, 6, 24 : Ἐσβιβάζοντες τοὺς ἐν ἡλικίᾳ ὄντας ἅπαντας.]

[Εἰσβλέπω, Intueor, Inspicio. Eur. Ion. 732 : Εἰς ὄμματ', εὔνου φωτὸς εἰσβλέψαι γλυκύ. Seager. Ap. Eur. præter Plut., Stob. ab editoribus citatos Fronto Ep. ad Cæs. 4, 8, legebant ἐμβλέψαι. Cum scriptura librorum conf. Xen. Cyn. 10, 12 : Εἰσβλέποντα εἰς τὸ ὄμμα τοῦ θηρίου. Herodot. 8, 77 : Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας. Xen. Cyn. 6, 23 : Εἰσβλέπουσαι εἰς τὸν κυνηγέτην. Theocrit. 6, 35 : Ἦ γὰρ πρὰν ἐς πόντον ἐσέβλεπον, ubi cod. unus ἐσέδρακον. Cum accus. Eur. Or. 105 ; Οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον. Absolute Xen. Conv. 4, 3 : Ἔφη ὁ Ἀντισθένης, ἅμα εἰσβλέπων, ὡς ἐλέγχων αὐτόν. L. D. lxx Job. 6, 28; 21, 5. Symm. Jer. 48, 19. Kall.]

[Εἰσβοάω, Exclamo. Greg. Nyss. t. 2, p. 782, D : Πρὸς τὴν τῶν δημίων ἀπειλὴν ἐλεεινῶς εἰσβοώντων. Hase.]

Εἰσβοηθέω, Ingredior ad ferendum auxilium : Auxilior, VV. LL.

Εἰσβολὴ, ἡ, Ingressus, Introitus, [Accessio, Gl.] Sed frequentissime de hostili ingressu : unde et Incursus, et Irruptio, item Expeditio redditur. [Herodot. 6, 92 : Συναπέβησαν δὲ καὶ ἀπὸ Σικυωνίων νεῶν ἄνδρες τῇ αὐτῇ ταύτῃ ἐσβολῇ. Eur. Ion. 722 : Ξενικὸν εἰσβολάν. Thucyd. 2, 13 : Ὡς ἔγνω τὴν ἐσβολὴν ἐσομένην. Et ib. : Ὅτε ἡ ἐσβολὴ τὸ πρῶτον ἔμελλε Πελοποννησίων ἔσεσθαι. Et 32, etc. Xen. H. Gr. 1, 2, 7.] Polyb. : Μετὰ δὲ τὴν εἰσβολὴν, κατεστρατοπεδεύσατο, κ. τ. λ. [Et 4, 1, 1; 5, 4; 57, 1.] Herodian. 7, [12] : Τῆς ἐπ' Ἰταλίαν εἰσβολῆς εἴχετο. Est etiam Aggressio : unde et εἰσβολὴ τοῦ πυρετοῦ. [Aret. Acut. m. cur. 1, 1, p. 74 =84 : Καιρὸς δὲ πάσης τέγξιος, πλὴν τῆς ἐσβολῆς τοῦ παροξυσμοῦ· 2, p. 80=90 : Πλὴν τῆσι ἐσβολῆσι τῶν παροξυσμῶν. Ammon. p. 78 : Εἰσβολὴ, περίοδος τοῦ πυρετοῦ. Galen. vol. 7, p. 299 : Καλῶ δὲ εἰσβολὴν παροξυσμοῦ τὸν ἀκριβῶς ἤδη πρῶτον χρόνον ἁπλατῆ, τὸν δ' αὐτὸν τοῦτον ἐπισημασίαν εἰώθασιν ὀνομάζειν.] Et Locus ad aggrediendum s. invadendum opportunus. Polit. ap. Herodian. 3, [6, 23], Φρουρήσοντα τῆς Ἰταλίας τὰς εἰσβολὰς, vertit, Qui aditus Italiæ obsideret. [Herodot. 2, 75 : Ἐσβολὴ ἐξ οὐρέων στεινῶν ἐς πεδίον μέγα. Ib. : Τὰς δὲ ἴβις τὰς ὄρνιθας ἁπαντώσας ἐς τὴν ἐσβολὴν ταύτης τῆς χώρας· 7, 207 : Τῆς ἐσβολῆς, de Thermopylis, ubi al. ἐμβ. Thuc. 3, 112 : Αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς· 4, 83 : Ἐπὶ τῇ ἐσβολῇ τῆς Λύγκου. Et ib. 127. Eur. Med. 1264 : Κυανεᾶν λιποῦσα Συμπληγάδων πετρᾶν ... ἐσβολάν. Xen. An. 1, 2, 21 : Ἡ δὲ εἰσβολὴ (in Ciliciam) ἦν ὁδὸς ἁμαξιτός. Diodor. 2, 2 : Τὴν Κασπιανὴν, εἰς ἣν εἰσιν εἰσβολαὶ στεναὶ παντελῶς· 33 : Πρὸς ταῖς εἰς τὴν χώραν εἰσβολαῖς· 20, 61 : Τῶν ἀπὸ τῆς χώρας εἰσβολῶν ἀπέκλεισε τοὺς ἐναντίους. Aristid. vol. 2, p. 338=3, 567 : Περὶ τὰς εἰσβολὰς τὰς ἐξ Ἀράβων εἰς Αἴγυπτον. Palæph. Incr. c. 39, 3 : Ἐν δὲ τῇ εἰσβολῇ τῆς χώρας ἦν τῷ Λέρνῳ πολίχνιόν τι, In introitu terræ. Aristoph. Eq. 857 : Ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα, νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας θέοντες τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν. Schol. : Εἰσβολὰς ὡσεὶ ἔλεγε τῆς χώρας· εἰσβολὰς δὲ ἔλεγον τοὺς τόπους δι' ὧν εἰσέβαλλον οἱ πολέμιοι. Xen. Anab. 1, 2, 21 : Ἐλέγετο δὲ καὶ Συέννεσις εἶναι ἐπὶ τῶν ἄκρων φυλάττων τὴν εἰσβολήν.] || Ingressus fluminis et ostium. Paus. : Ὁ δὲ ποταμὸς κατὰ τὴν εἰσβολὴν, τὴν ἐς τὸ πέλαγος, ἁλμυρὸς ἤδη γίνεται. Sed et εἰσβολὴ, et plur. εἰσβολαὶ sine adjectione sæpe dicuntur. [Herodot. 7, 182 : Ἐξοκέλλει ἐς τὰς ἐσβολὰς τοῦ Πηνειοῦ. Polyb. 4, 40, 9 : Τῆς τῶν ποταμῶν εἰσβολῆς· 41, 6 : Παρ' αὐτὰς τὰς εἰσβολάς. Arrian. Exp. 1, 19, 10 : Ἀπὸ τοῦ Μαιάνδρου ποταμοῦ τῶν εἰσβολῶν, ubi al. ἐκβ.] || Εἰσβολὴ, Bud. Ingressus et principium, Proœmium, ut εἰσβολὴ τοῦ λόγου, et εἰσβολαὶ τῶν λόγων. Dionys. H. Lysia [§ 17, p. 489, 8 : add. ib. p. 492, 3; 599, ult.] : Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων καὶ χαριέστατον. Sic Quint., Ingressus operis. Sic autem εἰσβολὴν a Longino [38, 2] accipi puto : Ὁ δ' εὐθὺς ἐν τῇ εἰσβολῇ ταῦτα τίθησιν. [Schol. Hephæst. p. 69=126 : Ἡ εἰσβολὴ τῆς Λευκαδίας Μενάνδρου. Suid. v. Ἄρατος Σολεύς : Συνέταξε δὲ βιβλία ταῦτα· τὰ Φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολή. Clem. Al. p. 474, B (=564, 5) : Κατὰ τὴν τοῦ προοιμίου εἰσβολήν. Hemst. Argum. Eur. Med. : Ἐπαινεῖται δὲ ἡ εἰσβολὴ (fabulæ). Antiphan. Athen. 6, p. 223, A : Τὴν καταστροφὴν, τὴν εἰσβολήν (comœdiæ).] — Ἔσβολὴ, pro εἰσβολή. Signif. et Irruptio, Invasio : et Ingressus. Herodot. [2, 75] : Ἔσβολὴ ἐς πεδίον, Ingressus in planitiem. Id. Ἔσβολαὶ ἐς Αἴγυπτον, Ingressus in Ægyptum. Aristoph. Ran. [1104] : Ἔσβολαὶ γάρ εἰσι πολλαὶ χ' ἄτεραι σοφισμάτων, schol. exp. itidem εἴσοδοι, item ἀφορμαὶ, ἀρχαί. [Ib. 956 : Λεπτῶν τε κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμοὺς, Subtilium regularum usus. Eur. Suppl. 93 : Ἔα, τί χρῆμα; καινὰς ἐσβολὰς ὁρῶ λόγων· Ion. 677 : Ὁρῶ δάκρυα καὶ πενθίμους ... στεναγμάτων εἰσβολάς. Seager. Vertendum Initia, de qua signif. dictum proxime ante hanc. De ead. Eust. Od. p. 1405, 45 : Τὸ δὲ εἰσβάλλειν καὶ ἡ εἰσβολὴ ἀρχήν τινα ἔργου ἢ πάθους ... ἐμφαίνει. || Horreum. Suid. : Εἰσβολὰς ἀλφίτων, τὰ σιτοφυλάκια, τὰς ἀποθήκας. || Confus. c. ἐκβολὴ et ἐμβολὴ v. supra in ll. Herodoti et Arriani.]

[Εἰσγίνεσθαι vox nihili, ap. Æschin. Epist. 11, p. 689, ubi εἰσεγένοντο est manifesto vitio. L. D.]

[Εἰσγραφὴ, ἡ, Inscriptio. Dio Cass. 59, 2 : Ἐπὶ τῇ ἑαυτοῦ ἐς τοὺς ἐφήβους ἐσγραφῇ.]

[Εἰσγράφω, Inscribo. Dio Cass. 36, 36 : Ἐκεῖνον ἔς τε τοὺς φίλους καὶ ἐς τοὺς συμμάχους ... ἐσέγραψε· 37, 46 : Πάντας τοὺς ἐν ταῖς ἀρχαῖς γενομένους ἐς τὸ βουλευτικὸν ἐσέγραψαν. Et alibi. Idemque pass. 37, 9 : Τῶν στηλῶν, ἐς ἃς οἱ νόμοι ἐσεγράφοντο, et sæpe alibi. Ælian. N. A. 12, 25 : Πορφυραῖ σκιαὶ τοὺς ὀφθαλμοὺς αὐτῷ (pisci χάρακι) μέσους εἰς κάλλος εἰσγράφουσιν. Med. Mihi inscribo, Soph. Trach. 1167 : Μαντεῖα, ἃ ... Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην. Inscribi facio. Schol. Lucian. Demon. c. 40, a Kall. cit. ; Ἄδηλον ποίᾳ τινὶ εἰσεγράψατο αὐτὸν φρατρίᾳ. Thucyd. 1, 31 : Ἦσαν γὰρ οὐδενὸς Ἑλλή-

νων ἔνσπονδοι, οὐδὲ ἐσεγράψαντο ἑαυτοὺς οὔτε ἐς τὰς Ἀθηναίων σπονδὰς οὔτε ἐς τὰς Λακεδαιμονίων. Dio Cass. fr. Peiresc. 32, p. 16, 6 : Οἱ Ῥωμαῖοι οὐχ ὅτι κακὸν αὐτοὺς ἔδρασαν, ἀλλὰ καὶ ἐς τὴν πολιτείαν μετὰ ταῦτ' ἐσεγράψαντο.]

[Εἰσδανείζω, Mutuor. Plato Reip. 8, p. 555, C : Ἵνα ὠνούμενοι τὰ τῶν τοιούτων καὶ εἰσδανείζοντες ἔτι πλουσιώτεροί τε καὶ ἐντιμότεροι γίγνωνται.]

[Εἰσδεκτικὸς, ἡ, ὸν, sine interpr. e Const. Apost. 2, 124 (?) cit. Kall. || Εἰσδεκτικὸν, τὸ, Renovationis pretium. Nov. 13 Leonis Imp. : Τῶν γὰρ ἐκδιδομένων ἔφασαν οἰκημάτων, ἤδη τοῦ συμπεφωνημένου χρόνου ἐκμετρηθέντος καὶ περιόδου ἐνστάσης ἀρχῆς καὶ ἀνανεώσεως τῆς τούτων διακατοχῆς, οὐ γίνεσθαι τὴν καταβολὴν ὡρισμένην τινὰ, ἣν καὶ ἰδίως εἰσδεκτικὸν καλοῦσιν, etc. Alexius patr. Cpol. in Jure Græco-Rom. l. 4, p. 258 : Καὶ μάλιστα εἰ μὴ προφανὲς καὶ δῆλον ὅτι εἰς χρειώδεις ἢ ἀναγκαίας ἐξόδους τῶν φροντιστηρίων προεχώρησαν τὰ εἰσδεκτικά. Ducang.]

[Εἰσδεκτὸς, ἡ, ὸν, Intro admittendus, Receptus. Sec. Vatic. legitur Levit. 22, 21 et 29 : ubi viri docti divisim jubent scribi, εἰς δεκτὸν, coll. v. 19. Vid. Schleusn. Lex. Vet. Test. s. h. v. Epiphan. tamen t. 1, p. 497, D : Εἰσδεκτοὶ οὗτοι γίνονται, καὶ οὐκ ἀποβληθήσονται. Hase.]

[Εἴσδεξις, ἡ, i. q. εἰσδοχή. Epiphan. t. 1, p. 506, C : Οὔτε γὰρ παραπεπτωκότος τινὸς εἴσδεξις ἔτι γίνεται. Hase.]

Εἰσδέρκω [Εἰσδέρκομαι], Intueor, Inspicio. [Eur. Hipp. 908 : Ἥ φάος τόδε οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.] Unde ἐσέδρακον. [Hom. Il. Ω, 223 : Αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην· Od. I, 146 : Οὔτις τὴν νῆσον ἐσέδρακεν. Apoll. Rh. 1, 598 : Φάραγγας Ὄσσης Οὐλύμποιό τ' ἐσέδρακον. Orph. Arg. 463 : Οὐλύμπου δὲ βαθυσκοπέλου πρηῶνας εἰσέδρακον Μινύαι. Et forma Alexandrina εἰσέδρακα ib. 130 : Τρισσὴν δ' Ἑρμείαο κλυτὴν εἰσέδρακα γένναν. Perf. εἰσδέδορκα, Eur. Androm. 615 : Αὐθέντην δέ σε, μιάστορ' ὥς τιν' εἰσδέδορχ' Ἀχιλλέως· El. 558 : Τί μ' εἰσδέδορκεν, ὥσπερ ἀργύρου σκοπῶν λαμπρὸν χαρακτῆρα;]

Εἰσδέχομαι, Admitto [Gl.] intro, Recipio intro, Excipio. [Pindar. apud Apollonium De constr. p. 142 = 138, 12 : Αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας ἔσδεξαι τεμενοῦχον. Sophocles Trach. 376 : Τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον; El. 1128 : Ὡς σ' ἀπ' ἐλπίδων οὐχ ὥνπερ ἐξέπεμπον εἰσεδεξάμην. Herodot. 1, 144 : Μηδαμοὺς ἐσδέξασθαι τῶν προσοίκων Δωριέων ἐς τὸ Τριοπικὸν ἱερόν· 145 : Οὐκ ἐθελῆσαι πλεῦνας ἐσδέξασθαι. Thuc. 4, 111 : Τοὺς λοιποὺς ἤδη τῶν πελταστῶν ἐσεδέχοντο. Conf. 8, 16. Demosth. p. 219, 24 : Ἐν ταῖς κοιναῖς ὁμολογίαις διειρημένου μηδὲν τοιοῦτον εἰσδέχεσθαι· 1010, 19 : Ἠξίωσεν αὐτὴν εἰς τὴν οἰκίαν παρ' αὐτὸν εἰσδέξασθαι· 1276, 12 : Τὸ ὕδωρ εἰσδεξάμενον εἰς τὸ ἐμαυτοῦ χωρίον. Geopon. 2, 3, 8 : Τὸν ἀέρα εἰσδεχόμενα. Diog. L. 4, 7 : Τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι (Phrynen). Constantin. Basil. Mac. c. 53, p. 134 : Δοχῆς δὲ γεγονυίας ἐν τῇ Μαναύρᾳ, καθώς ἐστιν ἔθος τοῖς βασιλεῦσι Ῥωμαίων ποιεῖν, ὅταν τινὰ τῶν ἐφ' ἡγεμονίας ἔθνους τινὸς περιφανῶν καὶ μεγάλων εἰσδέχεσθαι μέλλωσι. C. accus. Eur. Suppl. 876 : Φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων οὐκ εἰσεδέξατ' οἶκον. C. dat. Eur. Cycl. 35 : Ὡς τόν τ' ἀπόντα δεσπότην Κύκλωπ' ἐμὸν καθαροῖσιν ἄντροις μῆλά τ' εἰσδεξώμεθα. C. gen. Soph. OEd. T. 238 : Τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, ὅστις ἐστὶ, γῆς τῆσδε ... μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα. Eur. Phœn. 451 : Κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν τόνδ' εἰσεδέξω τειχέων πείσασά με.]

[Εἰσδίδωμι. Thomas M. p. 279 : Ἐκβάλλει καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλατταν καὶ ἐξίησιν; οὐκ εἰσβάλλει οὐδὲ εἰσδίδωσιν οὐδὲ εἰσίησιν. Pro ἐκδιδόναι interdum infertur ab librariis, ut Herodoti 4, 44, 48, Liban. vol. 4, p. 909, 2 (coll. Bast. ad Greg. p. 721). Appian. Civ. 2, 153 pro ἔνδους τι πρὸς τὴν παρρησίαν, quod est in melioribus, olim scribebatur ἔσδους. L. D. || Offero, Trado, quo sensu videtur vox Alexandrina. Aristeas De leg. transl. p. 106, 35 : Εἰσδοθέντος δὲ τοῦ προστάγματος, ὅπως ἐπαναγνωσθῇ τῷ βασιλεῖ· et ib. 51 : Τὸν Δημήτριον ἐκέλευσεν εἰσδοῦναι, Libellum sibi dare. Peyron Pap. gr. 1, p. 173, 29 : Εἰσέδωκα ὑπόμνημα κατὰ τῶν εἰρημένων. Hase.]

[Εἴσδοσις, ἡ, Libellus supplex, *Eine Eingabe*. Aristeas De leg. transl. p. 106, 57 : Τῆς δὲ εἰσδόσεώς ἐστιν ἀντίγραφον τόδε· Βασιλεῖ (in ed. non est interpunctum) μεγάλῳ παρὰ Δημητρίου. Et p. 107, 24 : Τῆς δὲ εἰσόδου ταύτης γενομένης, videtur item leg. εἰσδόσεως, quod habent codd. Hase.]

[Εἰσδοχεῖον, τὸ, Receptaculum, ex Arrian. Peripl. m. Erythr. p. 157 citat Lobeck. ad Phryn. p. 307.]

Εἰσδοχὴ, ἡ, Admissio. [Receptio, Eurip. El. 396 : Αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸς εἰσδοχὰς δόμων. Etym. M. p. 133, 23 : Αἱ μὲν ἄλλαι αἰσθήσεις κατὰ εἰσδοχὴν ἐνεργοῦσιν· αὕτη δὲ (ἡ ὅρασις) μόνη κατὰ ἐκπομπήν.]

Εὐχέρεια, ἡ, Facilitas. [Æsch. Eum. 494: Πάντας ἤδη τόδ' ἔργον εὐχερεία συναρμόσει βροτούς. Ubi etiam Levitatem vertere licet, i. e. Licentiam. Plato Reip. 4, p. 426, D: Τί δ' αὖ; τοὺς θέλοντας θεραπεύειν τὰς τοιαύτας πόλεις καὶ προθυμουμένους οὐχ ἄγασαι τῆς ἀνδρείας τε καὶ εὐχερείας; Alcib. 1 p. 122, C: Εἰ δ' αὖ ἐθελήσεις εἰς σωφροσύνην τε καὶ κοσμιότητα ἀποβλέψαι καὶ εὐχέρειαν καὶ εὐκολίαν καὶ μεγαλοφροσύνην καὶ εὐταξίαν ... καὶ φιλοτιμίας τὰς Λακεδαιμονίων. Æschines p. 17, 33: Ὥστε σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας.] Plut. Pericle [c. 13]: Ἡ γὰρ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον, οὐδὲ κάλλους ἀκρίβειαν. [Aristot. H. A. 7, 10: Οὐ μόνον περὶ τὰς δυστοκίας τῶν γυναικῶν τῇ εὐχερείᾳ δύνασθαι δεῖ βοηθεῖν, de obstetricibus.] In Pand.: Ἐπὶ δὲ παραστάσεως, εὔπορος νομίζεται ἐγγυητὴς οὐ μόνον ἐκ τῆς οὐσίας, ἀλλ' ἐκ τῆς εὐχερείας τοῦ ἐνάγεσθαι. Quæ verba ex Ulpiano ad verbum translata esse ait Bud. ita scribente, Fidejussor in judicio sistendi causa, locuples jubetur dari, non tantum e facultatibus, sed etiam e conveniendi facilitate. [Cum genitivo rei etiam Plat. Reip. 3, p. 391, E: Ὧν ἕνεκα παυστέον τοὺς τοιούτους μύθους, μὴ ἡμῖν πολλὴν εὐχ. ἐντίκτωσι τοῖς νέοις πονηρίας. Personæ in Basilic. 9, 7, 34, p. 473 ed. Heimb.: Ἀδιάφορον γὰρ εἴτε τις ἐκδημεῖ διὰ τὸ λαθεῖν ἢ καὶ μὴ ἐκδημῶν εὐχέρειαν ἑαυτοῦ μὴ ποιεῖ. Ibid. 10, 3, 47, p. 504, cum præp. πρός: Ἐὰν μείζων ὢν τῶν εἰκοσιπέντε ἐνιαυτῶν τὴν κληρονομίαν τοῦ ἀδελφοῦ σου παρῃτήσω, οὐδεμία σοι εὐχέρεια πρὸς τὴν ταύτης ὑπέλευσιν καταλέλειπται.] Ap. Lucian. autem [Prometh. c. 9], πρὸς ὀργὴν εὐχέρεια, Proclivitas ad iram; at εὐχερὴς πρὸς ὀργὴν reddi posset Facilis ad iram, vel potius Irasci facilis, ex Horat. [Eadem construct. Plut. Mor. p. 271, B: Ἐπίσχεσις τῆς πρὸς τὸν ὅρκον εὐχερείας. L. D. Ἡ περὶ τὰς γυναῖκας εὐχ. ib. p. 49, C. Hemst. Περὶ τὰς ἐπαγγελίας p. 64, B; περὶ τοὺς ὅρκους Lysand. c. 8.] Item εὐχέρεια, Facilitas, in altera hujus nominis signif.; aut etiam Levitas (κουφότης Hesychio), quem usum habet ap. Plut. Π. παιδ. ἀγωγ. [p. 6, C. Niciæ c. 3: Τῇ Κλέωνος εὐχ. καὶ βωμολοχίᾳ. In malam partem Polyb. 16, 18, 3: Τῶν γε μὴν πραγμάτων ἐπὶ τοσοῦτον ὠλιγώρηκεν (Zeno Rhodius historicus) ὥστε πάλιν ἀνυπέρβλητον εἶναι τὴν εὐχ. καὶ τὴν ἀπειρίαν τοῦ συγγραφέως· 32, 11, 4: Ταχέως ἡρπακότες ἐν τῷ Περσικῷ πολέμῳ τὴν τῶν Ἑλλήνων εἰς τοῦτο τὸ μέρος εὐχέρειαν. Diodor. Exc. p. 561, 27: Θαυμάσαι δ' ἄν τις τοῦ συγγραφέως τὴν εὐχ. Et alii. De lascivia et protervitate Pollux 6, 189; de oratoris et judicis levitate ibid. et 8, 13.] Affertur vero εὐχέρεια et pro εὐχειρία, quod Manuum dexteritatem significat, s. Agilitatem: ex Athen. 4, [p. 152, B, ex Posidonio] de Celtis: Διαφέρων τῶν ἄλλων ἢ κατὰ τὴν πολεμικὴν εὐχέρειαν, ἢ κατὰ τὸ γένος, ἢ κατὰ πλοῦτον. Sed fortassis εὐχειρίαν ille scriptum reliquit. [Eadem conjectura ap. Polyb. 16, 19, 1: Καταπροτερουμένην τὴν φάλαγγα ταῖς εὐχερείαις· 15, 13, 1: Τῇ μὲν εὐχερείᾳ καὶ τόλμῃ προεῖχον οἱ μισθοφόροι τὰς ἀρχάς· et 24, 5, 6: Ἐν τοῖς πολεμικοῖς κατὰ μὲν τὴν εὐχ. καὶ τὴν τόλμαν πολὺ διέφερε τῶν ἄλλων, Schweigh. restituebat εὐχειρίᾳ, quod cum τόλμα jungitur 23, 1, 8, ubi item εὐχερείας male scriptum in cod. Monac. Idem vitium ap. Diodor. 13, 60: Πολὺ ταῖς τόλμαις ὑπερέχοντες καὶ ταῖς εὐχειρίαις, ubi εὐχερίαις liber unus, et 14, 23: Λακεδαιμόνιοι ἐξέπληξαν τοὺς ἀντιτεταγμένους βαρβάρους τῇ τε τῶν ὅπλων λαμπρότητι καὶ ταῖς εὐχειρίαις, ubi omnes εὐχερείαις, correxit HSt. Sic 15, 70: Δόξαντες εὐχειρίᾳ καὶ ἀνδρείᾳ διαφέρειν, unus εὐχερίᾳ. De agilitate corporis vero Plato Leg. 12, p. 942, D: Καὶ χορείας πάσας τὰς εἰς τὰς ἀριστείας τὰς κατὰ πόλεμον βλεπούσας χορεύειν, καὶ ὅλην εὐκολίαν τε καὶ εὐχέρειαν ἐπιτηδεύειν. Atque huic quidem l. tam est aptum εὐχέρεια quam ineptum locis Athenæi, Polybii et Diodori: in quibus apertum est majorem quandam dici virtutem quam corporis agilitatem. De qua etiam ap. Plut. Philop. c. 7: Τὴν ὅλου τοῦ συστήματος ἐν ταῖς μεταβολαῖς εὐχέρειαν· Alex. c. 71: Τῶν παίδων ..., ταῖς μελέταις εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων. De manus facilite et dexteritate Ps.-Lucian. Amor. c. 11: Τὸ τῆς Πραξιτέλους εὐχερείας ὄντως ἐπαφρόδιτον, nisi legendum εὐχειρίας, et artifices nonnulli ipsi vocati sunt Euchires. Εὐχέρεια αὐλητοῦ cum εὐχειρία ponitur ap. Polluc. 4, 72. Quod Eust. Il. p. 980, 42, scribit: Ἴωνες δὲ τὸ περί τινα τῶν ἀναγκαίων τῷ σώματι ἐκκρίσεων ἀσχοληθῆναι, οἷον οὐρῆσαί φασιν ἢ ἀποπατῆσαι, εὐχέρειαν ἐκάλουν, recte Valcken. ad Herod. 4, 113 (librarii errore potius quam ipsius Eustathii) pro εὐμάρεια illatum judicat. Sic inter εὐχέρεια et εὐμάρεια variatur ap. Xen. OEc. 5, 9. L. Dind.]

|| Invenitur etiam Εὐχερία ap. Plut. [in edd. nonnullis Alex. c. 70 extr. et ap. Æschyl. l. Eum. supra cit.] pro εὐχέρεια, in Levitatis signif. Verum ut in l. proxime præcedenti suspecta est vox εὐχέρεια, pro εὐχειρία, ita hic suspectam habeo vocem εὐχερία pro εὐχέρεια. Ne tamen omnino rejiciendum existimem illam scripturam, faciunt alia pleraque nomina eandem διττογραφίαν habentia. [Hujus formæ ne ex poetis quidem exx. afferuntur, nedum ut prosæ concedenda sit. Pro εὐχειρία legitur in libro uno Diodori 15, 70.]

[Εὐχερέω, Facilitate utor, Facile subigo. Pachymer. Mich. Pal. p. 148, D: Εὐχερεῖν ἐκ τοῦ ῥᾷστα τοῖς ἐναντίοις ἦν. Nisi fallit scriptura.]

Εὐχερὴς, ὁ, ἡ, Facilis. [Plato Polit. p. 266, C: Τόδε δὲ οὐκ ἐννοοῦμεν ὡς ἔτι γελοιότερος ὁ βασιλεὺς φαίνεται μετὰ τῆς ἀγέλης ξυνδιαθέων καὶ ξύνδρομα πεπορευμένος τῷ τῶν ἀνδρῶν αὖ πρὸς τὸν εὐχερῆ βίον ἄριστα γεγυμνασμένῳ· et ibid. paullo ante: Τἀνθρώπινον ἡμῶν ἅμα γένος ξυνειληχὸς καὶ ξυνδεδραμηκὸς γένει τῷ τῶν ὄντων γενναιοτάτῳ καὶ ἅμα εὐχερεστάτῳ. Foes. OEcon.: « Hippocr. p. 77, F: Οἱ ἐν ὑστερικαῖς σπασμοὶ εὐχερεῖς. Ubi Galen.: Τὸ εὐχερές ὄνομα τῶν ἀμφιβόλων ἐστὶν ὅσον ἐφ' ἑαυτῷ. Δύναται γοῦν τις ἀκούειν ἐξ αὐτοῦ καὶ τὸ εὔλογον τῆς γενέσεως ... καὶ τὸ ἀκίνδυνον αὐτῶν. Conf. p. 173, A. » Aristot. H. A. 8, 6: Εὐχερέστατον πρὸς πᾶσαν τροφὴν τῶν ζῴων ἐστιν (sus).] Quum autem oppositum sit præcedenti δυσχερὴς, eand. deductionem et formam habens, eadem est quæ in illo significationis ratio. (At vero ap. Plat. Leg. 12, [p. 956, A]: Ἐλέφας δὲ, ἀπολελοιπότος ψυχὴν σώματος, οὐκ εὐχερὲς [εὐαγὲς scriptum apud Clementem et alios] ἀνάθημα, Cam. interpr. Non aptum munus quod diis consecretur. Cic., Haud satis castum donum deo.) Habet et alteram nominis Facilis signif., aut certe quæ ad illam accedit. De ea loquor, qua puellæ Faciles vocantur, quæ ob leve ingenium facile decipiuntur. Atque adeo pro Levi poni interdum videtur (sicut εὐχέρεια est κουφότης Hesychio), atque ita usus esse Demosth. [p. 547, 28: Τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν Εὐκτήμονα. In deteriorem partem etiam ap. Plat. Theæt. p. 184, B: Τὸ δὲ εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων καὶ μὴ δι' ἀκριβείας ἐξεταζόμενον τὰ μὲν πολλὰ οὐκ ἀγεννές. Appian. Maced. c. 14, vol. 1, p. 529, 75: Ἀπὸ τοῦδε εὐθὺς ἐκ μεταβολῆς ὠμὸς καὶ εὐχερὴς ἐς ἅπαντας ἐγένετο· Civ. 4, 123: Μισθοφόρων, οἷς ἐστιν ἀεὶ, καθὰ καὶ τοῖς εὐχερέσιν οἰκέταις, ἐς ἑτέρους δεσπότας ἐλπὶς ἐς σωτηρίαν ἢ ἐς τὸ ἀντίπαλον μεταβολή. Nicephor. fr. Lex. Gr. p. 344: Λέγεται καὶ εὐχερὴς ἄνθρωπος ὁ εὔκολος εἰς τὸ ἀπατᾶσθαι. Schneid. Εὐχερὴς ἀνὴρ, Com. ap. Athen. 2, p. 55, D, Aristophon ap. Diog. L. 8, 38. Qui temere aliquid facit vel scribit, schol. Pind. ad inscr. Pyth. 2. Hemst. Δυναστὴς Pollux 8, 12, Dio Cass. 44, 36. Cum κακηγόρος et similibus ponit Pollux 8, 81. Plut. Aristid. c. 2: Εὐχερῆ καὶ παράβολον (φύσιν)· Demetr. c. 14: Ὁ Δημ. εὐχερής τις ἦν περὶ γάμους. Similiter idem cum πρὸς Mor. p. 26, B: Λήσεται πρὸς πολλὰ τῶν φαύλων εὐχερὴς γενόμενος· 170, A: Εὐχερὴς πρὸς ὀργήν. || Agilis, Expeditus, de militibus, ut supra εὐφέρεια, ap. Polluc. 1, 131.] || Ap. Dionys. A. R. 7, 1, p. 1308, 2: Μετέστησαν οἱ μὲν εὐχερέστεροι (τῶν γεωργούντων) πρὸς τοὺς πατρικίους, τὸ δὲ θητικὸν μέρος ὡς τοὺς δημοσίους, Ditiores interpretatur Sylb., εὐγενέστεροι monens vertisse videri Lapum. || Qui facilem se præbet petenti, facile annuit, fert. Soph. Phil. 519: Ὅρα σὺ μή νυν μέν τις εὐχερὴς παρῇς· 875: Πάντα ταῦτ' ἐν εὐχερεῖ ἔθου. || Cui phrasi similis est Ἐξ εὐχεροῦς, Facile, ap. Ptolem. Mathem. comp. 1, p. 26, 19: Τὸν ἔλεγχον ἐξ εὐχ. μεταχειριζώμεθα· 29, 11: Διδομένων τῶν εὐθειῶν ἐξ εὐχ. δίδονται καὶ αἱ ὑπὸ τὰς λειπούσας περιφερείας

ὑποτείνουσαι. L. D. Schol. Apoll. Rh. 2, 760 : Ἐξ εὐχ. περιεγένετο τῶν Βεβρύκων. || Præterea notandæ sunt constructiones cum genitivo ap. Polyb. 4, 8, 9 : Τινὲς γὰρ ... τῆς τε (del.) πολεμικῆς χρείας τῆς κατ' ἄνδρα μὲν καὶ κατ' ἰδίαν εὐχερεῖς καὶ πρακτικοὶ, κοινῇ δὲ ... ἄπρακτοι. Et cum dativo ap. Appian. Civ. 2, 84 : Ὡς τῆς θαλάσσης οὔσης ἁλιτενοῦς καὶ μεγάλαις ναυσὶν οὐκ εὐχεροῦς. L. D.]

|| Εὐχερῶς, Facile. [Plato Phæd. p. 117, C : Μάλα εὐχ. καὶ εὐκόλως ἐξέπιε· Reip. 2, p. 364, A : Πονηροὺς πλουσίους ... εὐδαιμονίζειν καὶ τιμᾶν εὐχ. ἐθέλουσι· et cum eodem verbo 5, p. 475, C. Ib. p. 474, C : Ὑποχορι-ζομένου τε καὶ εὐχ. φέροντος τὴν ὠχρότητα· Leg. 12, p. 948, E : Δεινὸν γάρ που ... εὖ εἰδέναι σμικροῦ δεῖν τοὺς ἡμίσεις αὐτῶν ἐπιωρκηκότας, ἐν ξυσσιτίοις τε ἀλλήλοις εὐχ. συγγιγνομένους καὶ ἐν ἄλλαις συνουσίαις· Ep. 7, p. 345, C : Πῶς ἂν μὴ θαυμαστὸς ὢν ἄνθρωπος τὸν ἡγεμόνα τούτων καὶ κύριον οὕτως εὐχ. ἡτίμασέ ποτ' ἄν; Demosth. p. 34, 7 : Οὗτοι σωφρόνων οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων εὐχ. τὰ τοιαῦτα ὀνείδη φέρειν. Aristot. Eth. 8, 4 : Πολλὰ δ' ἐστὶ τῶν ἐθνῶν ἃ πρὸς τὸ κτείνειν καὶ πρὸς τὴν ἀνθρωποφαγίαν εὐχ. ἔχει. Hippocr. Epist. p. 1286, 25 : Ἐκ τουτέων ἁπάντων εὐχ. τὴν νοῦσον εὑρήσεις. Athen. 1, p. 1, B : Ὅσα ἄλλα οὐδ' ἂν εὐχ. ἀπομνημονεύσαιμι.] Ap. Aristot. autem Eth. 4, 1, εὐχ. ἀναλίσκειν dicuntur qui ad sumptus faciendos propensi sunt, qui temere et levi de causa sumptus faciunt. [In deteriorem partem etiam Plato Theæt. p. 154, B : Ἐπεὶ νῦν γε θαυμαστά τε καὶ γελοῖα εὐχερῶς πως ἀναγκαζόμεθα λέγειν· Reip. 7, p. 535, E : Εὐχερῶς ὥσπερ θηρίον ὕειον ἐν ἀμαθίᾳ μολύνηται. Demosth. p. 248, 10 : Ὦ λέγων εὐχερῶς ὅ,τι ἂν βουληθῇς· 315, 3 : Οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν· 1450, 6 : Ὅταν δ' ὑπὲρ πολιτείας καὶ σφαγῶν καὶ δήμου καταλύσεως εὐχερῶς ἀκούητε, πῶς οὐκ ἔξω χρὴ τοῦ φρονεῖν ὑμᾶς αὐτοὺς ἡγεῖσθαι; Plut. Mor. p. 56, B. || Εὐχερέστερον, Facilius. Xen. Reip. Lac. 2, 5 : Σῖτον ἔταξε τοσοῦτον ἔχοντα συμβολεύειν τὸν εἴρενα, ὡς ὑπὸ πλησμονῆς μήποτε βαρύνεσθαι, νομίζων τοὺς οὕτω παιδευομένους ... εὐχερέστερον πρὸς πᾶν ἔχειν βρῶμα. Dinarch. p. 97, 16 : Νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν τοῦτον τὰ μεγάλα τῶν ἀδικημάτων εὐχ. προσδέξεσθαι. Schol. Theocr. 11, 81 : Εὐχ. δὲ διέζη. Pro quo in Gl. Εὐχερότερον (sic), Facilius. Cujusmodi formas aliquoties supra notavimus. || Εὐχερέστατα, Facillime, Gl. Diod. Exc. Vat. p. 88 : Ὑπὸ τούτων εὐχ. τρέπονται. L. Dind.]

[Εὐχέριος, ὁ, Eucherius, Arcadii imp. patruus ap. Zosimum 5, 2. Stilichonis filius ib. 32, etc.]

[Εὐχερῶς. V. Εὐχερής.]

Εὐχετάομαι, Precor, Preces fundo supplex, Supplico. Hom. Od. Θ, [467] : Τῷ κέν τοι καὶ κεῖθι, θεῷ ὡς, εὐχετοώμην. [Conf. Il. Θ, 347, O, 369, X, 394. Apoll. Rh. 2, 1173. Cum dat. et infinitivo Apoll. 4, 588 : Πολυδευκέα δ' εὐχετάασθαι Κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους ... πορεῖν. || Opto, Cupio. Id. 4, 1360 : Ὅσ' ἔτλημεν, τὰ ἕκαστα διίδμεναι εὐχετόωντο.] || Sæpe vero et pro Glorior, Jacto me : ut εὔχομαι etiam accipi dicetur. Il. Υ, [348] : Ἀτάρ μιν ἔφην μὰψ αὖτως εὐχετάασθαι· ut alibi dicit, εὔχεαι αὖτως. Item cum infin., Od. Ξ, [189] : Τίνες ἔμμεναι εὐχετόωντο, Quos se esse jactabant, prædicabant, profitebantur. [Apoll. Rh. 1, 231 : Ἐπεὶ Μινύαο θυγατρῶν οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο ἔμμεναι. Cum adjectivo id. ibid. 188 : Ἴστορε δ' ἄμφω ἠμὲν ναυτιλίης ἠδ' ἄρεος εὐχετόωντο.] Ex Apoll. Arg. 2, [359] affertur junctum cum ἐκ habente suum gen. : Τοῦ καίπερ ἀφ' αἵματος εὐχετόωνται· ubi tamen subaudiri fortasse potest infin. [Oppian. Cyn. 2, 615 : Ἀσπάλακας βασιλῆος ἀφ' αἵματος εὐχετάασθαι Φινέος. Cum accusativo, ut infra εὔχομαι, Orph. Arg. 287 : Οἵ ῥα καὶ ἀθανάτου ῥίζης γένος εὐχετάασθε.] At vero Od. X, [412] : Οὐχ ὁσίη, κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι, Fas non est mortuis viris insultare. Pro quibus vulg. interpr. hæc ineptissima habet, Non pietas interfectis in viris orare. Cetcrum εὐχέω, et ab eo nomen Εὐχέτης fingit Eust. [Od. p. 1725, 57] ad formationem hujus verbi. [Quod significatione Præconis usurpat Opusc. p. 343, 34 : Ὁ ἐνδιάθετος καὶ θερμότατός σου εὐχέτης καὶ κῆρυξ τῶν σῶν ἀγαθουργίων διαπρύσιος. Memorat etiam Herodian. Epimer. p. 165. Male ap. Zonaram p. 904 : Εὐχετὴς ὁ εὐχὴν ποιῶν. L. D. Et Lex. schedogr. in Boiss. An. vol. 4, p. 375, 183 : Εὐχ., ὁ εὐχόμενος ὑπὲρ τῆς σωτηρίας. Osane.]

[Εὐχέτης. V. Εὐχετάομαι.]

[Εὐχετιάζω.] Hesych. habet et Εὐχετίαζον, quod exp. ηὔχοντο. [V. Εὐχατῆσαι.]

Εὐχή, ἡ, Precatio, Votum. Dicitur et εὐχαὶ in plur. ut Lat. Preces. [Hom. Od. K, 526 : Αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν.] Hesiod. Theog. [419] : Ὧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς. [Pind. Ol. 4, 14 : Θεὸς εὔφρων εἴη λοιπαῖς εὐχαῖς. Soph. El. 636 : Ἄναχτι τῷδ' ὅπως λυτηρίους εὐχὰς ἀνάσχου δειμάτων. Eur. Iph. T. 628 : Μάταιον εὐχὴν ηὔξω. Plato Alcib. 2 p. 148, C : Παραπλησίαν εὐχὴν εὔχονται. Æschines p. 56, 22 : Τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους. Euseb. V. Const. 1, 14, p. 507, 22 : Τοὺς δὲ ἀκούσαντας, ὥσπερ εὐχὴν ταύτην θεμένους, τὴν ἀγαθὴν ἐνδείξασθαι προθυμίαν, ubi interpretis errorem notavit Valesius, vertendum esse monens Vota suscipientes, ut 2, 22 : Εὐχὴν τιθέμενοι τῶν ἴσων ἀπολαῦσαι καὶ αὐτοί ποτε, Optantes.] Et εὐχὴν, εὐχὰς ποιεῖσθαι pro εὔχεσθαι, Precari. Ap. Thuc. [6, 32] : Εὐχὰς ποιεῖσθαι τὰς νομιζομένας, redditur, Vota legitima nuncupare. Item ex Plut. Camillo affertur Εὐχὰς ἐποιήσατο, μεγάλας θέας ἄξειν, pro Vovit se magna spectacula editurum. [Plat. Alcib. 2 p. 142, E : Κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι. Activo schol. Soph. Trach. 206 et 207, εὐχὰς ποιείτω, εὐχὰς ποιησάτω. Alia locutione Demosth. p. 1405, 20 : Τοσαύτας ὑπεναντιώσεις πρὸς ἄλληλα λαβοῦσα ἡ τύχη πρὸς τὸ δέον ἅπανθ' ὁμολογούμενα ἀπέδωκεν, ὥσπερ εὐχὴν ἐπιτελοῦσα ἢ παράδειγμα τοῖς ἄλλοις ἐπιδεῖξαι βουληθεῖσα.] Item Εὐχὴν ποιήσασθαι (κατὰ) χιμαρῶν, ex Aristoph. [Eq. 661] pro Capras vovere. [Cum eadem præpos., sed diversa significatione Theod. Stud. p. 51, B : Εὐχὴν τὴν κατὰ τῶν πονηρῶν ἐπάδων πνευμάτων. || Genitivo numinis jungit Soph. OEd. T. 239 : Μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασι κοινὸν ποιεῖσθαι. Eur. Tro. 889 : Εὐχὰς ὡς ἐκαίνισας θεῶν· Ion. 638 : Θεῶν ἐν εὐχαῖς. Plato Phædr. p. 244, E : Καταφυγοῦσα πρὸς θεῶν εὐχάς τε καὶ λατρείας. || Cum dativo Plat. Leg. 7, p. 801, A : Τίς δὴ μετ' εὐφημίαν δεύτερος ἂν εἴη νόμος μουσικῆς; Ἆρ' οὐκ εὐχὰς εἶναι τοῖς θεοῖς οἷς θύομεν ἑκάστοτε; Æschin. p. 26, 37 : Γράψει δ' ἐν τοῖς ψηφίσμασιν εὐχὰς ὑπὲρ τῆς πόλεως ταῖς σεμναῖς θεαῖς. || Cum præp. πρὸς præter Æschinem supra cit. Plato Leg. 3, p. 700, B : Καί τι ἦν εἶδος ᾠδῆς εὐχαὶ πρὸς θεούς, ὄνομα δὲ ὕμνοι ἐπεκαλοῦντο. Et εἰς, Pausan. 4, 27, 8 : Ἅμα μὲν ὑπὲρ καθόδου τῆς ἐκείνων συνεχέσιν ἐς τὸ θεῖον ταῖς εὐχαῖς... ἐχρῶντο.] Et εὐχὰς ἀποδιδόναι, e Xen. [Comm. 2, 2, 10], Vota persolvere, implere. [Conf. Ps. 95, 5.] At εὐχῇ χρῆσθαι ex Plat. Leg. [3, p. 688, B], Potiri voto. Quod et εὐχῆς τυγχάνειν. [Xen. Conv. 8, 15 : Σαφῶς ἀποτελεῖται ἡ εὐχή.] Dicunt autem de rebus magnis eas esse εὐχῆς ἀξίας, ὁμοίας : quibus loquendi generibus utitur Isocr. [p. 79, A; 86, B, et 106, C. Cum postrema formula conferenda hæc Platonis Reip. 6, p. 499, C : Οὕτω γὰρ ἂν ἡμεῖς δικαίως καταγελώμεθα, ὡς ἄλλως εὐχαῖς ὅμοια λέγοντες· 5, p. 456, C : Οὐκ ἄρα ἀδύνατά γε οὐδ' εὐχαῖς ὅμοια ἐνομοθετοῦμεν· 450, D : Μὴ εὐχὴ δοκῇ εἶναι ὁ λόγος· 7, p. 540, D : Ξυγχωρεῖτε περὶ τῆς πόλεώς τε καὶ πολιτείας μὴ παντάπασιν ἡμᾶς εὐχὰς εἰρηκέναι· Ep. 8, p. 352, E : Εὐχῇ προσέοικεν ἡ τοιαύτη συμβουλή· Leg. 8, p. 841, C : Ταῦτα δὴ τὰ νῦν λεγόμεν' ἐστὶν εὐχαί· 10, p. 887, C : Εὐχήν μοι δοκεῖ παρακαλεῖν ὁ λεγόμενος ὑπὸ σοῦ νῦν λόγος· Soph. p. 249, B : Κατὰ τὴν τῶν παίδων εὐχήν. Demosth. p. 722, 19 : Εἰ γὰρ αὖ καλῶς μὲν ἔχοι, μὴ δυνατὸν δέ τι φράζοι, εὐχῆς οὐ νόμου διαπράττοιτ' ἂν ἔργον.] Sed et aliquid μεῖζον εὐχῆς esse dixit Lucian. [Herodot. init.] Sæpe etiam cum præp. utuntur nomine εὐχή : dicunt enim δι' εὐχῆς ἐστί μοι τοῦτο, Precor, Opto hoc, Optatum habeo; Hoc mihi est in votis. Herodian. [2, 10, 4, Alex. Aphrod. De fato p. 7], Hermog. Item δι' εὐχῆς ἄγω τοῦτο, in ead. signif. ap. Synes. [Pind. Pyth. 9, 92 : Τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθών. Lycophr. 288 : Καλῶν ἐπ' εὐχαῖς πλεῖστα Φύξιον Δία.] Cum μετὰ autem, ut μετ' εὐχῆς, Optando, Plato Leg. At κατ' εὐχὴν, πρὸς εὐχὴν, Ad votum, Pro voto, Ex animi sententia. [Theætet. Anth. Pal. 6, 357, 6 : Ἐκ δ' εὐχῆς τοκέων ἔσταμες ἀμφότεροι. Aristot. Poet. c. 13 : Καὶ εὐχὴν ποιοῦντες τοῖς θεαταῖς. Et alibi sæpe similiter. Plut. Mor. p. 75, E : Γενόμενος κατ' εὐχὴν ἀνὴρ ἐκ γυναικός. V. Εὐχαριστία. Æschyl. Sept. 819 : Πατρὸς κατ' εὐ-

χὰς δυσπότμους φορούμενοι. Cum ὑπὸ Pind. Isthm. 5, 41 : Νῦν σε νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι.] || Item εὐχὴν ποιεῖσθαι, pro Devovere se. Bud. ex Athen. [l. in Εὐχωλιμαῖος citando. || De precatione simul et imprecatione Plat. Leg. 11, p. 931, E : Πᾶς νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχάς. || De re quam quis vovit. Inscr. ap. Bœckh. vol. 2, p. 456, n. 2663 : Στέφανος εὐχαριστῶν κυρίαις Νεμέσεσιν εὐχὴν ἐπενδυτοπαλλιων ζεῦγος, et alibi ; ap. Orell. Inscr. n. 2141 : Θεῷ ὑψίστῳ εὐχὴν ἀνέθηκεν Κλαυδία Πίστη. Ὑπὲρ εὐχῆς est in inscrr. ap. Leakium *Travels in the Morea* vol. 3, p. 24, 25. || Εὐχήνδε, Ad preces s. precandum. Nilus in Actis Monac. vol. 3, fasc. 1, p. 81, 95 : Τοίνυν ὁππότ' ἔμελλε φίλοις εὐχήνδε νέεσθαι. Alia de usu vocabuli locutionibusque ab eo formatis ab Suicero peti possunt. Quibus adjicienda signif. Benedictionis, de qua Vales. ad Euseb. H. E. 1 extr. p. 40, 22 ed. Reading. : « Εὐχὰς διὰ χειρὸς λαβὼν ἐθεραπεύθη) Benedictionem per impositionem manus accipiens. Idem est ac si dixisset δι' εὐχῆς καὶ χειρῶν ἐπιθέσεως, ut loquitur 2, 1. Εὐχὰς διὰ χειρὸς vel simpliciter εὐχὰς χειρὸς antiqui Patres vocabant Manus impositionem cum precatione. Sic in Excerptis Theodoti s. in libris Hypotyp. Clementis p. 344 De baptismo : Διὰ τοῦτο νηστεῖαι δεήσεις, εὐχαὶ χειρῶν γονοκλισίαι. » Ejusdem sisignif. exx. sunt in locutionibus εὐχὴν δέξασθαι, διδόναι, de quibus v. Ducang.]

[Εὐχήμων, ονος, ὁ, ἡ, Optabilis. Hesych. : Εὐχήμονα, εὐχῆς ἄξιον.]

[Εὐχήνωρ, ορος, ὁ, Euchenor, f. Ægypti, Apollod. 2, 1, 5, 4. Cœrani ap. Pausan. 1, 43, 5. Polyidi apud Hom. Il. N, 663.]

[Εὐχίδας, ὁ, Euchidas, Platæensis, Plut. Aristid. c. 20. V. Reines. ad Suidam v. Εὐχίδης. τᾰ]

Εὔχῑλος, ὁ, ἡ, opp. superiori ἄχιλος. Significat enim Abundans pabulo et alimonia. Pro quo et Εὔχειλος scribitur, cum diphthongo (ut χειλὸς pro χιλὸς reperiri, infra docebo), velut ap. Hesych. Εὔχειλον, εὔτροφον, εὔχορτον. [Ita nonnulli ap. Xen. Eq. 1, 12 : Καὶ πλευρὰ δὲ ἡ βαθυτέρα καὶ πρὸς τὴν γαστέρα ὀγκωδεστέρα ἅμα εὐεδρότερόν τε καὶ ἰσχυρότερον καὶ εὐχιλότερον ὡς ἐπὶ πολὺ τὸν ἵππον παρέχεται. Aristot. De partt. anim. 3, 14 : Τοῖς εὐχιλοτέροις τῶν ζώων καὶ πλείονος δεομένοις τροφῆς. Lycophr. 95 : Ἀντὶ δ' εὐχίλου κάπης καὶ μηλιαυθμῶν. Hic quoque nonnulli per ει. Γῆ εὔχιλος Pollux 7, 184.]

[Εὐχίμαρος, ὁ, ἡ, Capris abundans. Myrinus Anth. Pal. 6, 108, 3 : Εὔαρνον θείητε καὶ εὐχίμαρον Διότιμον. ῐᾰ]

[Εὐχῖται, οἱ, Euchitæ, dicti Massaliani hæretici, quod id vox Massaliani sonet, ut est ap. Harmenopulum De sectis et alios, vel ut chronologus ineditus De hæresibus, ἀπὸ τῆς εὐχῆς ἢ ἀπὸ τῆς ἐπωνύμου χώρας τῆς Περσίδος. De iis agunt Theodoritus l. 4 Hæretic. fabul. et l. 4 H. E. c. 11, aliique multi. Ducang. Augustinus De hæresibus c. 57 : « Massaliani Græce dicuntur Εὐχῆται, ab orando sic appellati. Tantum enim orant, ut eis qui hoc de illis audiunt, incredibile videatur. » Suicer. Qui male præfert scripturam illam per η, quæ non est græca. Per ι recte etiam ap. Lambec. Bibl. Cæs. vol. 5, p. 256, C, vol. 6, p. 59, D, Georg. Pachym. Andron. p. 332, A. V. Εὐχῆται. L. D.]

Εὔχλοος, ὁ, ἡ, Bene virens, Virore decorus, Viriditate elegans : κῆπος, Nonn. [Jo. c. 18, 5 : Κ. ἐΰχλοος· Dion. 41, 15 : Πόλις Βερόη ... ἐΰχλοος. Ubi ἐΰχροος est in codd. || Cereris epitheton est ap. Soph. OEd. C. 1600 : Εὐχλόου Δημητρὸς εἰς ἐπόψιον πάγον μολούσα. Sic eadem dicitur Χλόη, quod v.]

Εὔχλωρος, ὁ, ἡ, Bene virens, Pulcre viridans, Virore decorus. Simpliciter tamen exp. Viridis, itidemque τὸ εὔχλωρον, Viriditas. [Theophr. H. Pl. 3, 5, 2, ubi ἔγχλωρος corrigitur.]

[Εὐχολογεῖν, Orationes dicere, pronuntiare. Nomocanon Cotel. n. 126 : Εὐχολογήσει αὐτῷ καὶ μόνον. Ducangius.]

Εὐχολόγιον, τὸ, Suidæ τὸ βιβλίδιον, Libellus : est tamen potius Libellus continens preces quotidie dici solitas. [V. Suicer. Thes., Goar. præfat. ad Euchолog. Paris. 1647 editum.]

Εὔχομαι, Precor, Preces fundo, Vota facio, nuncupo. Hom. Il. O, 371 : Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα, Ζεῦ πάτερ, εἴποτε κτλ. Et cum suo dat., Λ, 735 : Συμφερόμεσθα μάχῃ Διί τ' εὐχόμενοι καὶ Ἀθήνῃ. [Cum accusativo rei Γ, 275 : Τοῖσιν δ' Ἀτρείδης μεγάλ' εὔχετο, χεῖρας ἀνασχών· Od. P, 239 : Μέγα δ' εὔξατο χεῖρας ἀνασχών· Γ, 54 : Αὐτικὰ δ' εὔχετο πολλὰ Ποσειδάωνι. Pind. Pyth. 3, 2 : Εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος. Æsch. Suppl. 1060 : Μέτριον νῦν ἔπος εὔχου· Sept. 266 : Εὔχου τὰ κρείσσω, ξυμμάχους εἶναι θεούς. Aristoph. Ran. 885 : Εὔχεσθε δὴ καὶ σφώ τι. Cujusmodi exemplorum diversa est ratio ab iis quæ infra afferentur ejusdem constructionis, sed alius significationis. Cum dat. Æsch. Pers. 498 : Θεοὺς δέ τις τὸ πρὶν νομίζων οὐδαμοῦ τότ' ηὔχετο λιταῖσι.] Sic et in prosa : Lucian. [Demonact. c. 27] : Εἰ μὴ δύναται κἀντεῦθεν ἡμῶν εὐχομένων ἀκούειν. Εὔχομαι τοῖς θεοῖς, Thuc. [3, 58. Soph. Phil. 1077 : Εἰς ὅσον θεοῖς εὐξώμεθα. Eur. Alc. 218; Aristoph. Av. 865; Herodot. 7, 178; 8, 64. Cum accusat. Antipater Thess. Anth. Pal. 9, 268, 2 : Ἄρτεμιν εὐξαμένη. Jo. Malal. p. 63, 21 : Ηὔξαντο τὸν θεόν· 65, 3.] Sed et πρὸς τοὺς θεούς, Xen. [Comm. 1, 3, 2. Æschin. p. 56, 22 : Τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους.] Dicitur et εὔχεσθαι εὐχὴν, εὐχὰς τοῖς θεοῖς, a Dem. [p. 381, 10, Æschine p. 4, 10. V. Εὐχή.] Item sine dat. || Interdum cum infin. pro Exposco precibus, Precor ut etc. Hom. Il. B, 401 : Εὐχόμενος θάνατόν τε φυγεῖν καὶ μῶλον Ἄρηος. [Pind. Ol. 3, 2 : Τυνδαρίδαις τε φιλοξείνοις ἀδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ εὔχομαι· 9, 86 : Εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν· Pyth. 4, 293 : Εὔχεται ... οἶκον ἰδεῖν. Soph. OEd. T. 269 : Καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς μήτ' ἄροτα αὐτοῖς γῆς ἀνιέναι τινὰ μήτ' οὖν γυναικῶν παῖδας, ἀλλὰ τῷ πότμῳ τῷ νῦν φθερεῖσθαι (ubi notandus infinitivus futuri, qui grammaticis nonnullis adeo displicuit ut φθαρῆναι supponerent, de quo v. schol. in cod. August.)· cui l. Elmslejus comparavit Aristoph. Thesm. 350 : Ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά. Antig. 641 : Τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς ... ἔχειν. Eur. Hipp. 1455 : Τοιῶνδε παίδων γνησίων εὔχου τυχεῖν. Xen. Anab. 6, 1, 26 : Εὔχομαι δοῦναί μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι.] Sed alicubi cum infin. est Precando polliceor, Voveo : Δ, 101 : Εὔχεο δ' Ἀπόλλωνι λυκηγενεῖ κλυτοτόξῳ Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην. [Æsch. Ag. 933 : Ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε; Soph. Phil. 1032 : Πῶς θεοῖς εὔξεσθε ... αἴθειν ἱερά;] Itidem in soluta oratione, cum infin. utramque signif. habet : ut εὔχομαι σώζειν. Ap. Dem. Pro cor. init. cum infin. simul et dat. : Τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ... ὑπάρξαι μοι κτλ. [Hom. Il. Θ, 526 : Εὔχομαι ἐλπόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν ἐξελάαν ἐνθένδε κύνας Κηρεσσιφορήτους. Hesiod. Op. 463 : Εὔχεσθαι δὲ Διὶ ... ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν. Eur. Alc. 334, Aristoph. Eq. 764, Eccl. 172, Plato Reip. 8, p. 545, D, et alii.] Xen. [Comm. 1, 3, 2] : Εὔχετο πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι. Et pro Voveo. [Soph. Trach. 610 : Οὕτω γὰρ ηὔγμην ... στελεῖν χιτῶνι τῷδε.] Plut. Popl. [c. 14] : Εὔξατο τὸν νεὼν ἀναθήσειν. Sic εὔχομαι τῷ Διὶ θύσειν, Theseo. Legitur vero et εὔχομαι θυσίαν ead. signif. [Æsch. Ag. 963 : Πολλῶν πατησμὸν δ' εἱμάτων ἂν ηὐξάμην.] Sicut et Aristoph. dixit [Av. 1618] : Εὐξάμενος ἱερεῖόν τῳ θεῶν. [Soph. OEd. C. 1512 : Νῦν δὲ τοῦτ' εὔχεσθέ μοι. Epigr. Anth. Pal. 13, 13, 2 : Εὐξάμενος δεκάτην Παλλάδι.] Dicebant vero et κατὰ χιλίων εὔχεσθαι, pro Vovere χίλια, Eust. p. 1454. [Demosth. p. 1467, 1 : Τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς ἡγεμόνας ποιησάμενοι καὶ παρακαλέσαντες καὶ κατὰ τῶν νικητηρίων ἅπασιν αὐτοῖς εὐξάμενοι. Ubi alia exx. annotavit Schæferus, quibus addendi Pollux 1, 27, Dio Cass. 55, 31.] Quinetiam cum quolibet accus. pro Precibus exposco, Precor aut Opto a diis; vel etiam simpl. Opto. Xenoph. Hell. [4, 4, 12 : Ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον οἷον οὐδ' εὔξαντο ποτ' ἄν·] 5, [1, 3] : Εὔχοντο αὐτῷ πολλὰ καὶ ἀγαθά. [Soph. Phil. 1019 : Ὅλοιο· καί σοι πολλάκις τόδ' ηὐξάμην. Eurip. Iph. A. 1188 : Ἀλλ' ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι; Aristoph. Eq. 928 : Εὔχομαι δέ σοι ταδί. Pollianus Anth. Pal. 11, 127, 4 : Μείζονα γάρ σοι εὔξασθαι ταύτης οὐ δύναμαι μανίαν. Demosth. p. 800, 13 : Ἅπαντας ἅπασι πάντα τἀγαθὰ εὔχεσθαι.] Thuc. 2, [43] : Ἀσφαλεστέραν (διάνοιαν) μὲν εὔχεσθαι. Lucian. De sacrif.

[c. 1] : Ἃ αἰτοῦσι καὶ ἃ εὔχονται. [Pind. Nem. 8, 37 : Χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον. Eur. Or. 355 : Θεόθεν πράξας ἅπερ ηὔχου· 1174 : Εὔχομαι τάδε. Parmenio Anth. Pal. 11, 65, 3 : Πεινῶν εὔχετο γραῦν, κοιμώμενος εὔχετο λιμὸν Φίλλις.] Interdum vero et cum infin. vel pro Exposco precibus a diis : vel simpl. pro Opto. Dem. [p. 136, 26] : Οὐδὲν ἂν ἄλλο ... εὔξασθαι ποιεῖν τὴν πόλιν. Lucian. p. 46 : Τὰ κάκιστα εὐχόμενος γενέσθαι [Philopatr. c. 23. Sequente ἵνα Chœroboscus in Bekkeri Anecd. p. 1291 : Εὔχεται ἵνα εἰς πέρας ἔλθῃ· et ib. 1292. Schol. Theocr. Id. 12 procem. : Εὔχεται δὲ ἵνα μετὰ θάνατον γένοιντο ἀοίδιμοι. Sequente ὅπως Nonnus Dion. 21, 24 : Εὔξατο μητέρι Γαίῃ Ἀμβροσίη κροκόπεπλος, ὅπως Αυκόοργον ἀλύξῃ. Sequente ὥστε Jo. Malal. p. 65, 3 : Ηὔξατο Μωσῆς τὸν θεὸν ὥστε πέμψαι αὐτῷ πληγάς. Præter quas constructt. notandæ sunt constrr. cum dativo numinis et accusativo rei votis expetitæ, ap. Eur. Hippol. 46 : Μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῷ· Xen. Cyrop. 2, 3, 1 : Εὐξάμενοι τοῖς θεοῖς τἀγαθά· et addito ὑπὲρ cum genitivo personæ Comm. 2, 2, 10 : Πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ. Ib. 3, 14, 3 : Ὅταν οἱ ἄλλοι ἄνθρωποι τοῖς θεοῖς εὔχωνται πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο. Cum præpos. κατὰ ap. schol. Hom. Il. A, 18 : Διὰ τί ὁ Χρύσης κατὰ τῶν οἰκείων ηὔχετο; Cum παρὰ Plut. Mor. p. 85, D : Μηδὲν ἂν οὕτως εὔξασθαι παρὰ θεῶν. C. περὶ, ap. Callim. Epigr. 59, 3 : Εὐξαμένα περὶ παιδὸς Ἀπέλλιδος. Theodor. Stud. p. 285, B : Εὐχόμενος περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Cum ὑπὲρ ap. Simonidem Plut. Mor. p. 871, B : Αἴδ' ὑπὲρ Ἑλλάνων ... ἔσταθεν εὐξάμεναι Κύπριδι. Dio Cass. 58, 2 : Ηὔχοντο ὑπὲρ ἀμφοῖν ὁμοίως. Theodor. Stud. p. 289, B : Εὐχόμενον ὑπὲρ τῆς ταπεινώσεως ἡμῶν. L. D. Cum infin. perf. in psephismate Sigeorum ap. Chishull. Ant. Asiat. p. 51, 21 : Τὴμ μὲν ἱέρειαν καὶ ἱερονόμους καὶ τοὺς [πρυτάν]εις εὔξασθαι τῇ Ἀθηνᾷ τῇ Ἰλιάδι μετὰ τῶμ πρεσβευτῶμ τήν τε παρουσίαν γεγονέναι τοῦ βασιλέως ... καὶ γίνεσθαι τά τε ἄλλα ἀγαθὰ κτλ., Gratias agere, Supplicare. Schneid.] Ceterum hoc εὔχεσθαι videri dici quasi εὖ ἔχεσθαι τοῦ θείου, vel ὡς προκαλουμένων τὴν ἐκεῖθεν ἀντοχήν, tradit Eust. [Il. p. 674, 47.] Dico autem hoc εὔχεσθαι, quia reliquis ejus signiff. minime conveniret hoc etymum : unde etiam minus verisimile a me judicatur. Quid quod et nomini εὐχὴ suum dat etymum, s. potius sua etyma? quasi vero non unum idemque utriusque esse deberet. Quid quod eousque sive inscitiæ sive temeritatis venerunt quidam, ut et composito προσευχὴ suum etymum tribuerint, προσευχὴ tanquam προσοχὴ dictum esse scribentes? quasi vero illud πρὸς adjectitium non esset, aut quasi etymologia compositi, non autem simplicis, quærenda esset. I nunc, et quæcunque tradunt gramm., de etymis præsertim, tanquam ex tripode profecta amplectere. || Εὔχομαι εἶναι, Glorior esse, Jacto me esse. Hom. Il. Ψ, [669] : Ἐπεὶ εὔχομαι εἶναι ἄριστος· et sic sæpe. [Θ, 254 : Ἔνθ' οὔτις πρότερος Δαναῶν ... εὔξατο Τυδείδαο πάρος σχέμεν ὠκέας ἵππους. Æsch. Suppl. 536. Polyb. 5, 43, 2 : Ὁ Μιθριδάτης εὔχετο μὲν ἀπόγονος εἶναι τῶν ἑπτὰ Περσῶν ἑνός. Cum accusat. et inf. Pind. Pyth. 4, 97 : Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι πατρίδ' ἔμμεν; Soph. OEd. C. 59 : Οἱ δὲ πλησίον γύαι τόνδ' ἱππότην Κολωνὸν εὔχονταί σφισιν ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι. Apoll. Rh. 2, 887 : Οὓς μὲν γὰρ τὸ πάροιθε δαήμονας εὐχόμεθ' εἶναι, οἱ δὲ ... ἀσχαλόωσι. Paul. Sil. Anth. Pal. 10, 15, 7 : Ἐπεὶ Θέτιν εὔχομαι εἶναι ἡμετέρου πατρὸς ξεινοδόκον Βρομίου. Aliter Soph. OEd. C. 1318 : Εὔχεται Καπανεὺς τὸ Θήβης ἄστυ δηώσειν πυρί.] Cum accus. etiam : Od. Π, [62] : Ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων. Sic Latini, Jactare genus ab Jove. [Pind. Ol. 7, 23 : Ἡρακλέος εὐρυσθενεῖ γέννᾳ· τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται. Æsch. Suppl. 19 : Ὅθεν δὴ γένος ἡμέτερον ... ἐξ ἐπιπνοίας Διὸς εὐχόμενον τετέλεσται· 313 : Ὁ δῖος πόρτις εὔχεται βοός. Eurip. in fr. apud Dionys. H. De comp. vv. p. 219, 7 : Ἔνθεν εὔχομαι γένος. Anon. ap. Plut. Mor. p. 600, F : Ἀργεῖος ἢ Θηβαῖος· οὐ γὰρ εὔχομαι μιᾶς· ἅπας μοι πύργος Ἑλλήνων πατρίς. || Cum dativo rei Eur. Or. 782 : Τῷ δοκεῖν εὔχου μόνον.] Interdum sine adjectione : Εὔχεαι αὔτως ap. Hom. non semel, Temere gloriaris, te jactas. [Il. Λ, 388, N, 447. Ib. Π, 844, cum accus. : Ἤδη νυν, Ἕκτορ, μεγάλ' εὔχεο. Quo referri potest l. Æsch. Suppl. 1060 supra citatus.] Sic [Od. Ξ, 463], Εὐξάμενός τι ἔπος ἐρέω. || Sed εὔχομαι cum illo infin. non semper exponendum Glorior, Jacto; nam Od. E, [450] : Ἀλλ' ἐλέαιρε ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι, est potius, cum Cic., Profiteor me tibi supplicem esse. Eust. autem Od. A, [180], Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι Υἱὸς, vult esse λέγομαι, Dicor. Itidemque hic Il. Z, [231], Ξεῖνοι πατρώϊοι εὐχόμεθ' εἶναι. [Ib. Σ, 499 : Δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποίμνης ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι ..., ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι. Sine infinitivo Apoll. Rh. 4, 1251 : Τίς χθὼν εὔχεται ἥδε;] Affertur autem εὔχεσθαι et pro εἰπεῖν, Dicere, ex Pind. Ol. [6, 53] : Τοὶ δ' οὔτ' ὢν ἀκοῦσαι, οὔτ' ἰδεῖν εὔχοντο. [Ubi schol. : Τῷ γὰρ εὔχοντο ἀντὶ τοῦ εἶπον οἱ Λάκωνες ἐχρῶντο. Ita vertere licet Soph. OEd. C. 41 : Τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων; Hesych. : Εὔχεσθαι, λέγειν. Εὐχόμεθα, φαμέν.] Ceterum ut ab εὔχομαι, Precor, fit εὐχὴ, sic ab hoc dico fieri εὖχος, Gloriatio, s. potius Gloriandi materia, Gloria. Scio tamen non defuturos, qui nomina hæc verbis priora esse malint. [|| Perf. signif. activa Num. 6, 19 : Τὰς χεῖρας τοῦ ηὐγμένου· 20 : Πίεται ὁ ηὐγμένος οἶνον. Apud Hesych. per ευ, Εὐγμένος, εὐξάμενος. Plusquamperfect. Soph. Trach. 610 : Οὕτω γὰρ ηὔγμην. Signif. passiva Plat. Phædr. p. 279, C : Ἐμοὶ μετρίως ηὖκται. Passiva signif. et forma aoristi Dio Cass. 48, 32 : Ἡ πανήγυρις ἡ ἐπὶ τῷ πολέμῳ εὐχθεῖσα. Theodor. Stud. p. 527, B : Καίπερ ἐφιέμενοι τὸ ἀναπαυστικόν σου καὶ τὸ περὶ σεαυτὸν εὐχθὲν εἰς ἔργον ἀποβῆναι. Præsentis significatio passiva commentum est scholiastæ novitii Soph. OEd. T. 1512, vitio scripturæ decepti. || De constructione notandum significatione Vovendi tam cum futuri quam aoristi infinitivo conjungi, ut ap. Xenoph. Ven. 6, 13 : Εὐξάμενον τῷ Ἀπόλλωνι μεταδοῦναι τῆς θήρας λῦσαι μίαν κύνα. || De augmento Mœris p. 175, Etym. M. p. 400, 26, grammat. in Crameri Anecd. vol. 4, p. 180, 17, recte monent scripturam Atticam esse per ηυ, vulgarem per ευ. Exc. Herodiani ib. vol. 3, p. 264, 34 : Τὸ ηὐχόμην καὶ ηὐλόγησεν ἀττικῶς μεταβάλλονται ἢ βαρβαρικῶς, καθὼς Ἡρωδιανὸς ἐν τῷ περὶ βαρβαρισμοῦ διαλαμβάνει. Inepte Exc. ejusdem nomine inscripta ib. p. 258, 10 : Ἔτι πλημμελοῦσιν οἱ λέγοντες ηὐξάμην καὶ ηὐχόμην λόγῳ τοιούτῳ. Ὅσα ἀπὸ τῆς ευ διφθόγγου ἄρχεται ῥήματα, ταῦτα τηρεῖ τὴν ευ δίφθογγον καὶ ἐπὶ πάντων τῶν χρόνων· οὕτως ἄρα καὶ τὸ εὔχομαι φυλάξει τὴν ευ δίφθογγον· τὰ δὲ ἀπὸ τῆς αυ ἀρχόμενα τρέπεται εἰς τὸ ηυ, οἷον αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν· εὔχομαι δὲ ηὐχόμην. V. quæ diximus in Εὑρίσκω. L. Dind.]

[Εὔχορδος, ὁ, ἡ, Qui bonas habet chordas. Pind. Nem. 10, 21, λύραν.]

[Εὐχορήγητος, ὁ, ἡ, Cujus facilis est copia. Eustath. Opusc. p. 298, 75 : Οἱ δὲ πλείους διάβολον ἐπικαλοῦντες τὸν ἐπαιτοῦντα, τοῦτο δὴ τὸ παρ' αὐτοῖς εὐχορήγητον. L. D.]

[Εὔχορος, ὁ, ἡ, Choreas ducens. V. Εὔκυκλος. || Forma poetica Anth. Pal. App. 217, 7 : Ἠυχόροιο τέχνης.]

[Εὔχορος, ὁ, Euchorus, n. viri in inscr. Bœot. ap. Bœckh. vol. 1, p. 760, n. 1576, ubi genit. Εὐχόρω. L. Dindorf.]

Εὔχορτος, ὁ, ἡ, idem cum εὔχιλος [v. Hesych. v. Εὔχειλος], Gramine s. Fœno abundans. Pollux 7, [184] : Μηλόβοτος γῆ, εὔβοτος, εὔνομος καὶ εὔχιλος· καὶ εὔχορτα πεδία· sed poetica hæc esse ait. || Exp. etiam Appetens pabuli, sed nullo ejus signif. allato exemplo. [Haud dubie ex Aristot. H. A. 8, 8 : Ὡς γὰρ ἂν πίῃ τὰ ὑποζύγια τὸ ὕδωρ, οὕτω καὶ πρὸς τὴν ἀπόλαυσιν ἔχει τῆς τροφῆς καὶ ὁποῖον ἂν ἧττον δυσχεραίνῃ τὸ ποτὸν, τοῦτο μᾶλλον εὔχορτον. Sed vertendum Bene saginatur.]

Εὖχος, τὸ, ab ea verbi εὔχομαι signif., qua pro Glorior ponitur, Gloriatio, s. potius Gloria, Honor. Ap. Hom. sæpe, ubi dicit εὖχος δοῦναί τινι, ἀρέσθαι. [Il. E, 285 : Ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκας· 654 : Ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα εὖχος ἐμοὶ δώσειν. Et de diis, H, 81 : Εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχος Ἀπόλλων, et alibi. Addito infinitivo H, 203 : Δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι. (Eadem phrasi Hesiod. Th. 628.) Cum eodem verbo Λ, 290 : Ἵν' ὑπέρτερον εὖχος ἄρησθε. Cum aliis verbis, sive de diis sive de victis, Il. O, 462 : Τεῦχρον Τελαμώνιον εὖχος ἀπηύρα (Juppiter)· X, 130 : Ὅττι τάχιστα εἴδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ·

Ν, 327 : Ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν· Od. X, 7 : Αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.] Potest etiam reddi fortasse Gloriandi materia. [Ut victoria, quomodo interpretatur Hesychius. Sic Pind. Ol. 11, 66 : Ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος· Pyth. 5, 20 : Εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλών· Nem. 6, 61 : Πέμπτον γ' ἐπὶ εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο. Cum genitivo Leontius Anth. Pal. 7, 149, 2 : Οὔ τινι δ' ἔμπης ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου· 150, 1 : Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων μέμφεται οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις. || De homine. Antipater Sid. Anth. Pal. 7, 27, 1 : Ἀνακρέον, εὖχος Ἰώνων. || Votum. Soph. Phil. 1203 : Ἔν γέ μοι εὖχος ὀρέξατε. De re quam quis vovet, Plato Anth. Pal. 6, 43, 3 : Βάτραχον χαλκῷ μορφώσας τις ὁδοιπόρος εὖχος ἔθηκεν.]

[Εὔχους, χώνη, Σαλαμίνιοι, Hesych. Conferendum igitur πρόχους, ut sit Infundibulum bene fundens. V. Letronn. *Sur les noms des vases grecs* p. 54.]

[Εὔχρεως, voc. corruptum in fr. Antimachi ap. Athen. 11, p. 469, F : Τότε δὴ εὔχρεῳ ἐν δέπαϊ Ἥλιον πόμπευεν ἀγακλυμένη Ἐρύθεια, ex χρύσεῳ, ut videtur. L. Dind.]

Εὐχρηματέω, Pecuniosus sum, Pecuniis abundo, Opulentus sum. [Pollux 3, 109, 110.]

Εὐχρηματία, ἡ, Opulentia. [Pollux 3, 110; 6, 196; 9, 160.]

[Εὐχρημάτιστος, ὁ, ἡ, Locuples vel Bene locupletans. Procl. Paraphr. Ptol. 3, 18, p. 229. Struv.]

Εὐχρήμᾰτος, ὁ, ἡ, quod oppositum habet ἀχρήματος, Cui est bona pecuniarum copia, Bene numatus, Pecuniosus, Locuples, Opulentus. [Pollux 3, 109.]

[Εὐχρημονέω.] Legitur etiam Εὐχρημονεῖν ap. Polluc. (quod est tanquam ab Εὐχρήμων, ut habuisti ἀχρήμων supra), ejusdem signif. cum εὐχρηματεῖν. Pollux [6, 196] a Platone comico usurpatum fuisse tradit pro πλουτεῖν.

Εὐχρηστέω, Facilem s. Commodum usum præbeo, Commodus sum, Utilis sum, ut Diosc. 1, [93] : Εὐχρηστεῖ εἰς τὰ ἄκοπα, redditur, Utilis est acopis. [Polyb. 12, 18, 3 : Μεταξὺ τῶν ἵλων ἑκάστης συνυπάρχειν δεῖ διάστημα τοῖς μετώποις πρὸς τὸ ταῖς ἐπιστροφαῖς δύνασθαι καὶ τοῖς περισπασμοῖς εὐχρηστεῖν. Oribas. p. 85 ed. Mai. : Εὐχρηστεῖ ὁ βρόχος οὗτος πρὸς ἀπόστασιν σφυροῦ καταρτιζομένου. Absolute Diog. L. ab Hemst. cit. 7, 129 : Εὐχρηστεῖν δὲ καὶ τὰ ἐγκύκλια μαθήματα. De hominibus inscr. Deliaca ap. Bœckh. vol. 2, p. 226, n. 2270, 23 : Ὅπως οὖν ὁ δῆμος φαίνηται τοῖς εὐχρηστοῦσιν ἀξίας ἀποδιδοὺς χάριτας.] A Bud. autem εὐχρηστῶ exp. Commode utor : item In commodum meum verto, sed absque ullo exemplo. At Phrynich. [p. 402], haud satis scio quid cogitans hæc scripserit, Εὐχρηστεῖν, ἀπόῤῥιψον, λέγε δὲ κιχράναι· nam quid εὐχρηστεῖν cum κιχράναι commune habet? [Videtur Phr. notare significationem Commodandi, cujus nullumdum quidem repertum est exemplum, sed passivi usus analogiam quandam ostendit. Præterea ipsum verbum Atticis veteribus ignotum fuit.] At pass. Εὐχρηστοῦμαι est Commode tractor, Commodis afficior s. Beneficiis. [Diodor. 5, 12 : Οἰκατοικοῦντες αὐτὴν (Meliten) εὐχρηστούμενοι κατὰ πολλὰ διὰ τοὺς ἐμπόρους ταχὺ τοῖς βίοις ἀνέδραμον.] Plut. [Mor. p. 185, E] : Τῶν δὲ Ἀθηναίων αὐτὸν προπηλακιζόντων, Τί κοπιᾶτε, εἶπεν, ὑπὸ τῶν αὐτῶν πολλάκις εὐχρηστούμενοι; Qua de causa eos lacessitis, ab iisdem sæpius commode tractati? H. e. Cur fastiditis eos qui sæpe commodis vestris servierunt, et novos semper administratores quæritis? de Themistocle. Ita Bud., qui affert hunc quoque l. Athenæi [6, p. 274, E] : Ὁ δὲ Μούκιος παρὰ τῶν εὐχρηστουμένων ὑπ' αὐτοῦ ὠνούμενος, πρὸς τὸν αὐτὸν τύπον ἐποιεῖτο τὴν διατίμησιν, Ab iis emens, quibuscum commode egerat, Quos commodis affecerat, et qui ei erant obnoxii. [Paullo aliter Eust. Opusc. p. 90, 46 : Ὑποκριτὴν οἴδαμεν εἶναι τὸν ἐν ἀγαθῇ προσποιήσει καὶ φαντασίᾳ τῇ ἔξωθεν εὐχρηστεῖσθαι δοκοῦντα, τὰ δὲ ἔνδον ἀχρεῖον καὶ ὀδωδότα, Probum et utilem. || Usurpor. V. Εὔχρηστος. Eust. Opusc. p. 47, 8 : Διάβηθι καὶ εἰς τὸ ἀντλεῖν, εὐχρηστούμενον κατ' ἐνέργειαν· Il. p. 964, 21 : Τὸ ἕῆος καὶ τὸ ἑοῖο, εἰ καὶ μὴ εὐχρηστοῦνται λόγῳ πεζῷ, ἀλλὰ ποιητικώτερον καὶ πολυωνυμοῦνται καὶ παρηχοῦσι. L. D. Ib. p. 139, 36 : Τὸ δὲ ἄνεμος πρῆσεν καὶ τὸ διαπρήσσουσα κέλευθον παρήχησίς τις ἐστι καὶ αὐτὸ, οὐ πάνυ εὐχρηστουμένη. Seager.]

Εὐχρήστημα, τὸ, Commodum : v. in Δυσχρήστημα [ubi affert l. Cic. De fin. 3, 21, 69. Optimitas, Gl.].

Εὐχρηστία, ἡ, Usus facilis, Utendi facilitas, Usus commodus, Commoditas [Gl. Ἡ καλὴ χρῆσις Suidæ s. Zon. V. Wyttenb. ad Plut. Mor. p. 87, D.]. Polyb. [2, 30, 1] : Τοῖς μὲν οὖν ὀπίσω τῶν Κελτῶν πολλὴν εὐχρηστίαν οἱ σάγοι μετὰ τῶν ἀναξυρίδων παρεῖχον· τοῖς δὲ γυμνοῖς προεστῶσι, παρὰ τὴν προσδοκίαν τοῦ πράγματος συμβαίνοντος, πολλὴν ἀπορίαν καὶ δυσχρηστίαν παρεῖχε τὸ γινόμενον. Hic enim Bud. εὐχρηστίαν Commoditatem, et vicissim δυσχρηστίαν Incommoditatem vertit. [Idem 6, 33, 9 : Τοῖς χιλιάρχοις ἅμα μὲν τὸ τῆς εὐχρηστίας ἀναγκαῖον ... ἀποτελεῖται· 9, 7, 5 : Διὰ τὴν πρὸς πάντα τόπον εὐχρηστίαν τῶν Νομάδων.] Redditur εὐχρηστία et voce Utilitas, sicut εὔχρηστος, Utilis. [Diod. 1, 13 : Πυρὸς εὑρετὴν γενόμενον, καὶ διὰ τὴν εὐχρηστίαν ταύτην τυχόντα τῆς ἡγεμονίας· ib. : Διατηροῦντα τὸ πῦρ προκαλεῖσθαι τοὺς ἄλλους ἀνθρώπους πρὸς τὴν ἐξ αὐτοῦ γινομένην εὐχρηστίαν· 43 : Τῆς εὐχρηστίας τῆς περὶ τὴν βοτάνην ταύτην μνημονεύοντας τοὺς ἀνθρώπους· 63 : Πολλὰ περὶ τὴν εὐχρηστίαν τοῦ Νείλου φιλοτιμηθείς· 5, 12 : Αἰμένας διαφόρους ταῖς εὐχρηστίαις. Oribas. p. 131 ed. Mai. : Τούτων δὲ εὐχρηστία αὕτη. Cometas Anth. Pal. 15, 38, 5 : Γράψας δ' (Homerum) ἐκαινούργησα τὴν εὐχρηστίαν. || De re Diodor. 5, 40 : Ἔν τε ταῖς οἰκίαις τὰ περίστῳα πρὸς τὰς τῶν θεραπευόντων ὄχλων ταραχὰς ἐξεῦρον εὐχρηστίαν. Quomodo accipere licet 15, 44 : Διὰ δὲ τῆς πείρας τῆς εὐχρηστίας ἀποδοχῆς τυγχανούσης.]

Εὔχρηστος, ὁ, ἡ, Cujus facilis est usus, Quo facile uti possumus, Usui accommodatus : oppositum præcedenti δύσχρηστος. Utriusque ex. habuisti in Polybii l. quem in Δύσχρηστος protuli. Redditur autem εὔχρηστος et voce Utilis. [Commodus, Conducibilis, Usualis, add. Gl. Ineptam esse notationem grammatici in Bachm. Anecd. vol. 1, p. 417, 13 : Χρήσιμον λεκτέον, οὐχὶ εὔχρηστον, ostendunt ll. infra citandi. Rectius Suidas distinguit tantum : Χρήσιμον πρᾶγμα ὅ,τι χρείαν ὠφελείας παρέχεται· εὔχρηστον δὲ ὅ,τι χρείαν ἐπαινετὴν ἀπεργάζεται. Xen. OEc. 8, 3 : Ἔστι δ' οὐδὲν οὕτως οὔτ' εὔχρηστον οὔτε καλὸν ἀνθρώποις ὡς ἡ τάξις· Hipparch. 1, 3 : Ἐπιμελητέον ὅπως εὐχρηστοι ὦσιν (equi)· Comm. 4, 1, 3 : Τῶν ἵππων τοὺς εὐφυεστάτους, εἰ μὲν δαμασθεῖεν, εὐχρηστοτάτους γιγνομένους· Cyrop. 5, 3, 39 : Οὕτω γὰρ πορευόμενοι καὶ εὐχρηστότεροι γίγνονται. Aristot. Eth. Nic. fin. : Ἴσως δὲ καὶ τῶν νόμων καὶ τῶν πολιτειῶν αἱ συναγωγαὶ τοῖς μὲν δυναμένοις θεωρῆσαι ... εὔχρηστ' ἂν εἴη. || Usitatus. Eust. Il. p. 947, 14 : Τοὺς ἐν τῷ θνήσκειν ἀσπαίροντας, ἐξ οὗ καὶ τὸ σπαρίζειν, εὐχρηστότερον ὂν τοῦ σκαρίζειν παρὰ τοῖς παλαιοῖς. Theognost. in Crameri Anecd. vol. 2, p. 40, 16 : Ἥτις (εὐθεῖα) καὶ τέτριπται· αἱ γὰρ ἄλλαι οὐκ εὔχρηστοι. V. Εὐχρηστέω. || Construitur cum præp. εἰς, ut ap. Diodor. 5, 40 : Τὴν σάλπιγγα, εὐχρηστοτάτην εἰς τοὺς πολέμους. Vel πρὸς, 4, 76 : Ἔδοξεν εὔχρηστον εὑρηκέναι μέγα πρὸς τὴν τεκτονικὴν τέχνην. Xen. Comm. 3, 8, 5 : Πρὸς ταὐτὰ ... καλά τε κἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ. Plat. Leg. 6, p. 777, B.]

Εὐχρήστως, Commode, Utiliter. Εὐχρήστως ἔχειν πρός τι, Usui esse ad aliquid, vel Commodum esse. [Polyb. 3, 73, 5 : Ἀεὶ πρὸς τὸ δέον εὐχρ. καὶ προθύμως εἶχον. Chrysippus ap. Plut. Mor. p. 1044, D : Οἱ κόρεις εὐχρ. ἐξυπνίζουσιν ἡμᾶς. Comparativo εὐχρηστότερον, Commodius, Ptolem. Math. comp. 1, p. 47, extr.: Ἔτι δὲ εὐχρ. ἐποιούμεθα τὴν τοιαύτην παρατήρησιν. L. D.]

[Εὔχριστος, ὁ, ἡ, Bene unctus. Criminat. adv. Eccles. lat. in Cotel. Eccl. gr. mon. vol. 3, p. 498, C : Λαβόντες τοῦ ἀναισθήτου τὴν χεῖρα ἐπιτιθέασι τῷ τραχήλῳ τοῦ ἐν αἰσθήσει, καὶ τοῦτο χρῖσιν ... ἥγηνται, καὶ οὗτος ... εἰς τὸ ἑξῆς εὐχριστότατος καὶ κραταιῶς ἀρχιερατεύει. L. D.]

[Εὐχρόαστος. Xen. Eq. 1, 17 : Εἰ δέ τινες (ἵπποι) αὐξανόμενοι μεταβάλλουσιν, ὅμως οὕτω θαρροῦντες δοκιμάζοιμεν· πολλῷ γὰρ πλείονες εὐχρόαστοι ἐξ αἰσχρῶν ἢ ἐκ τοιούτων αἰσχροὶ γίγνονται. Quod scribendum videtur εὔρωστοι, quum de colore, etiamsi recte formatum esset εὐχρόαστος pro εὔχρους, hic omnino non agatur (nam alia ratio est loci ex Rep. Lac. ab HSt. citati in Εὔχροος), sed de virtutibus equi ex specie pulli conjiciendis : Εἶδος μὲν δὴ πώλου οὕτω δοκιμάζοντες μάλιστ' ἂν ἡμῖν δοκοῦσι τυγχάνειν εὔποδος καὶ ἰσχυροῦ καὶ εὐσάρκου καὶ εὐσχήμονος καὶ εὐμεγέθους. Εὔχρηστοι conjiciebat Schneiderus. Εὔρωστος est 11, 1. L. Dind.]

Εὐχροέω, Bono s. Probo sum colore, etiam Jucundo et hilari colore sum præditus. Galen. Comm. 3 in 6 Epid.: Ἐὰν μὲν γὰρ εὐχροῶσιν οἱ ὀφθαλμοὶ, τὸ γυῖον ὑγιεινῶς ἔχειν δηλοῦσι, τοῦτ' ἔστι τὸ σῶμα ὅλον. [Aristoph. Lys. 80: Ὡς δ' εὐχροεῖς. Matthæi Med. p. 170: Τὸ πρόσωπον εὐχροΐσει. Recte Matthæus εὐχροήσει, conferens Gregor. Nyss. vol. 1, p. 489, D: Εὐχροούσης βαφῆς. Add. Geopon. 11, 26, 2. L. Dind.]

Εὐχροὴς, ὁ, ἡ, i. q. εὔχροος s. εὔχρους, Qui bono est colore, Pulcro colore præditus. Unde εὐχροὲς δέρμα, Hom. [Od. Ξ, 24], Bonum habens colorem, s. Pulcrum. [Alii εὔχροον. Sed v. schol. Il. N, 191. L. D.]

Εὔχροια, ἡ, Bonus s. Pulcer color, Probus color: exemplum habes in opposito Δύσχροια. [Hippocr. p. 127, A: Μετὰ προσώπου εὐχροίης. Theophr. fr. 9 De sudor. 39: Ἡ εὔχροια γίνεται δι' εὔπνοιαν. Aristot. H. A. 7, 4: Αἱ τὰ ἄρρενα κύουσαι μᾶλλον μετ' εὐχροίας διατελοῦσιν. Oribas. p. 70 ed. Mai.: Τὴν κατὰ φύσιν εὔχροιαν. Geopon. 10, 19, 2. Εὐχροίη, quod est ap. Aretæum p. 16, 48; 56, 39, comparendum videtur cum Ἀχροίη, quod v. L. Dind.]

[Εὔχροιος. V. Εὔχροος.]

Εὔχροος, s. Εὔχρους, ὁ, ἡ, Bono præditus colore, Qui bono s. pulcro est colore, Probe coloratus. [Hippocr. p. 1247, 5: Αἱ βόρειοι (καταστάσιες) τὰ σώματα εὔχροα ποιέουσι. Theophr. H. Pl. 3, 11, 5: Τὰ μὲν ὀρεινὰ εὔχροά τε καὶ στερεά. Ib. 2: Τὴν ἐν τῷ ὄρει φυομένην ξανθὴν καὶ εὔχρουν· 4, 4, 6: Τὴν χρόαν λαμβάνει τὴν εὔχρουν. L. D.] Xen. Reip. Lac. [5, 8]: Ἀπὸ τῶν σιτίων οἱ μὲν διαπονούμενοι, εὔχροοί τε καὶ εὔσαρκοι καὶ εὔρωστοί εἰσιν· οἱ δ' ἄπονοι, πεφυσημένοι τε καὶ αἰσχροὶ καὶ ἀσθενεῖς ἀναφαίνονται. Ubi nota opponi sibi invicem εὐχρόους et αἰσχροὺς, i. e. Turpes s. Deformes; ἡ δύσχροια enim reddit αἰσχίονα καὶ δυσειδέστερον. [De coloribus musicis, ut infra εὔχρως, Philochorus ap. Athen. 14, p. 638, A, ab Hemst. cit.: Χρώματα εὔχροα πρῶτος ἐκιθάρισε (Lysander Sicyonius).] Utitur idem Xen. et compar. εὐχροώτερος, Cyrop. 8, [1, 41] de Cyro: Καὶ ὑποχρίεσθαι δὲ τοὺς ὀφθαλμοὺς προσίετο, ὡς εὐοφθαλμότεροι φαίνοιντο ἢ εἰσί· καὶ ἐντρίβεσθαι, ὡς εὐχροώτεροι ὁρῷντο ἢ πεφύκασι. [OEc. 10, 10: Εὐχροωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ.] Est tamen et alius compar., nimirum εὐχρούστερος, Qui meliore et hilariore est colore. [Aristot. Probl. 1, 37: Πολὺ εὐχρούστεροι οἱ περὶ τὴν τῶν ἀλεύρων ἐργασίαν ἢ τὴν τῶν ἀλφίτων· 2, 30. Theophr. H. Pl. 5, 1, 1; Geopon. 18, 8, 5. L. D. Ἄνθη εὐχρούστερα, Nicol. ap. Athen. 15, p. 682, A. Dioscor. 4, 94. Hemst. Superl. Const. Man. Chron. 1157: Γυνὴ ... εὐχρουστάτη. ‖Forma vitiosa Sabinus in Matthæi Med. p. 240: Εἰ πάντα (τὰ δένδρα) εὔχροια ἔχοι τὰ φύλλα. Εὔχροα recte 239. V. Μονόχρους. Nec videtur Hippocrati p. 107, C, relinquendum: Ὁκόσαι εὔχροοί εἰσι, sed restituendum εὔχροοι, ut εὔχροα est p. 1247, G, 106, E, εὐχρόους 83, H, εὐχρούστερον 86, A. L. Dind.]

[Εὔχρῡσος, ὁ, ἡ, Aurifer. Soph. Phil. 398: Παχτωλὸν εὔχρυσον.]

[Εὐχρωμᾰτίστως, Vivo colorum flore. Andr. Cr. p. 164.]

[Εὔχρωμος, Pudendus, Colorarius, Gl.]

[Εὐχρώμων, Colorarius, Gl.]

Εὔχρως, ὁ, ἡ, i. q. εὔχροος s. εὐχροὴς, Bono s. Pulcro colore præditus, Qui pulcri coloris est. [Aristoph. Lys. 206: Εὔχρων γε θαῖμα· Th. 643: Τοδὶ διέκυψε καὶ μάλ' εὔχρων· Eq. 1171: Ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων καὶ καλόν. Aristot. De partt. anim. 4, 2: Τὰ ἥπατα τὰ τῶν ἀχόλων εὔχρω καὶ γλυκερά ἐστιν.] Ex Theophr. H. Pl. 3, [9, 7]: Εὔχρως ἡ αἰγὶς, pro Ægis colore grata. Sic Xen. pro εὔχροος utens, dixit [OEc. 10, 5]: Τῷ ὄντι εὔχρως ἔσομαι· subjungens ibid. μίλτῳ ἀλειφόμενος. [De cantico Plato Leg. 2, p. 655, A: Ἐν γὰρ μουσικῇ καὶ σχήματα μὲν καὶ μέλη ἔνεστι, περὶ ῥυθμὸν καὶ ἁρμονίαν οὔσης τῆς μουσικῆς· ὥστε εὔρυθμον μὲν καὶ εὐάρμοστον, εὔχρων δὲ μέλος ἢ σχῆμα οὐκ ἔστιν, ἀπεικάσαντα ὥσπερ οἱ χοροδιδάσκαλοι ἀπεικάζουσιν, ὀρθῶς φθέγγεσθαι. Conf. Εὔχροος, Χρόα et Χρῶμα de modulatione dicta. De stragulis Pollux 10, 42, στρωμνὴ στίλβουσα, εὔχρως, ἀνθοῦσα.]

[Εὔχρωτος, ὁ, ἡ, i. q. εὔχρως, in fr. ex Salomon. Test. in Fabric. Cod. Pseud. V. T. p. 1048: Ἤνεγκεν ἔμπροσθέν μου τὴν ὀνοσκελοῦν (sic) μορφὴν ἔχουσαν περικαλὴν (sic) καὶ δέρμα γυναικὸς εὔχρωτον. Struv.]

Εὐχῡλία, ἡ, Bonitas succi, Gratus sapor. [Athen. 3, p. 87, C; 7, p. 306, E; 308, D. Matthæi Med. p. 16.]

Εὔχῡλος, ὁ, ἡ, Bono præditus succo, Succi plenus, Abundans succo, Succosus; Bonum habens saporem, Sapore præstans, s. gratus, [Sapidus, Gl.]: opp. τῷ δύσχυλος. Hicesius ap. Athen. 7, [p. 282, D] de anthia s. callionymo pisce: Εἶναι δὲ αὐτὸν χονδρώδη καὶ εὔχυλον καὶ εὐέκκριτον, οὐκ εὐστόμαχον δὲ, Boni esse succi, Bonum succum generare: cui opp. κακόχυλος, quod v. [Diphil. ap. Athen. 2, p. 62, C. Hemst. Theophr. H. Pl. 6, 11, 15: Ἐὰν μὲν τὰς ῥίζας εὐχυλοτέρας (ἔχωσι), ταύτας (ἐντέμνειν). Suidas: Εὐχυλότερος, ὁ ταχέως πεττόμενος. ‖ Adv. Εὐχύλως, Bono s. Largo succo. Hippocr. p. 598, 28: Τὰς δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι μῆτε λίην αὐαίνουσαι, ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως, ὅσῳ καὶ αὐχμηρότεραί εἰσι.]

Εὐχυμία, ἡ, Bonus succus, Bonus sapor, Saporis gratia. [Hippocr. p. 412, 19: Ὅτι αἱ σάρκες, ὅταν εὐχυμία ᾖ, οὐκ ἀτρεμίζουσιν. Theophr. C. Pl. 6, 11, 3 et 4: Ἡ εὐχ. καὶ ἡ εὐοσμία, iterumque ibid. 5.]

Εὔχῡμος, ὁ, ἡ, ut εὔχυλος, Qui boni est succi, Qui boni est saporis, Sapore præstans: ut εὔχυμος τροφὴ, Galen. 1 Ad Glauc., Cibus boni succi, [Aret. p. 135, 42; δίαιτα, Philagrius Matthæi Med. p. 61. Posidon. ap. Athen. 14, p. 649, D: Ἧττον μὲν εὔχυμον, εὐώδη δὲ μᾶλλον. Plut. Mor. p. 690, A: Ἡ ὑγρότης εὐχυμότερα ποιεῖ (alimenta). L. D.]: et εὔχυμος πρὸς τὴν ἐδωδὴν [ap. Aristot. De gener. anim. 3 extr.], Sapore præstans, quique in cibo laudatur. Itidem Gorr., Εὔχυμον, inquit, dicitur Alimentum quod boni succi est. Id autem duplex est, tum quod portionem quandam boni succi continet ad nutrimentum habilis, sed plurimum habet recrementi: tum quod plurimum habet quod nutrire potest, minimum autem quod sit inutile: ut habetur ap. Galen. 9 Meth. Med. [Planud. Ovid. Met. 14, 690; 15, 78. Boiss.]

[Εὔχῦτος, ὁ, ἡ, Fluxus, Liquidus. Aret. p. 119, φλέγμα. Boiss. Psellus in Boiss. Anecd. vol. 3, p. 217, 315: Εὔτυχον, ὑδαρῶδες. Legendum εὔχυτον, ut est in cod. ap. Boiss. ad Theophylacti Epist. p. 240. L. D. Εὔχυτον, Futile, Gl. Leg. Fusile. Angl. Schol. Hom. Il. Σ, 612: Ἑανοῦ χασσιτεροῖο) εὐχύτου, Bene fusi.]

Εὐχωλὴ, ἡ, poetice i. q. εὐχὴ, Precatio, Preces, Votum. Hom. Il. A, [93 coll. 65]: Οὔτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, οὔθ' ἑκατόμβης· [Θ, 64: Ἔνθα δ' ἄμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν·] Od. Λ, [34] εὐχωλῇσι et λιτῇσι copulat, adjungens ἐλλισάμην. [I, 499: Θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι· Od. N, 358: Νῦν δ' εὐχωλῆς ἀγανῇσι χαίρετε. Hesiod. Sc. 68: Ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων. Pind. ap. Athen. 13, p. 574, A: Τελείαις εὐχωλαῖς ἰανθείς. Anacreon ap. Dion. Chr. vol. 1, p. 94: Κεχαρισμένης δ' εὐχωλῆς ἐπακούειν. Anth. Pal. 6, 137, 2: Εὐχωλὰς τάσδ' ὑποδεξάμενος. Palladas ib. 9, 441, 2: Τὸν Διὸς ἐν τριόδοισιν ἐθαύμασα χάλκεον υἷα, τὸν πρὶν ἐν εὐχωλαῖς, νῦν παραριπτόμενον, Antea adoratum. V. Εὐχωλιμαῖος.] Item εὐχωλὴ, pro Devotione. Bud. ex Athen. p. 85. [Ap. Ath. non εὐχωλὴ est, sed εὐχωλιμαῖος, quod v. ‖ De sacris Apoll. Rh. 4, 713: Ἡ δ' εἶσω πελάνους μείλικτρά τε νηφαλίῃσι καῖεν ἐπ' εὐχωλῇσι. Θυσία int. Hesych.] Alibi vero pro εὖχος ponit, i. e. pro Gloriatione, Gloria. [Il. B, 160, Δ, 173: Κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιεν Ἀργείην Ἑλένην· Θ, 229: Πῇ ἔβαν εὐχωλαὶ, ὅτε δὴ φάμεν εἶναι ἄριστοι; ‖ De homine Il. X, 433: Τέκνον, ὅ μοι νύκτας τε καὶ ἦμαρ εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ. ‖Νίκη, τέρψις, χαρὰ int. Hesych., ut idem Εὖχος, quod v., explicat νίκη.]

Εὐχωλιμαῖοι, Bud. interpr. Qui vota faciunt, votis faciendis constituti sunt. Herodot. [2, 63], ut ipse inquit, εὐχωλὰς ἐπιτελέοντες. Item Εὐχωλιμαῖοι, Devoti, i. e. Soldurii, ut Cæsar. Athen. p. 85 [6, p. 249, B: Νικόλαος ὁ Δαμασκηνὸς ... φησὶν Ἀδιάτομον τὸν τῶν Σωτιανῶν βασιλέα, ἔθνος δὲ τοῦτο Κελτικὸν, ἑξακοσίους ἔχειν λογάδας περὶ αὐτὸν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ σιλοδούρους· τοῦτο δ' ἐστὶν ἑλληνιστὶ εὐχωλιμαῖοι. Τούτους δ' οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων.] At εὐχωλιμαῖα, Optabilia, εὐκταῖα, idem Bud. ex Polluce p. 205 [5, 130. Dio Cass. 79, 9: Ἐν ταῖς εὐχωλιμαίαις θέαις, Ludis votivis.]

